ἤτοι τοπαρχίας, δυνάμει ἀπὸ τῶν πλησίον ὄντων ἄλλων ἐθνῶν.
καὶ ἐβασίλευσε τῶν Λυδῶν πρῶτος ὁ Ἀρδεὺς ἔτη λς΄. ὅστις καὶ
ὑπέταξε τὰ πλησίον ἔθνη καὶ βασίλεια, καὶ διῆγεν ἐν ὑπερη-
φανίᾳ.

Μετὰ δὲ τὴν βασιλείαν Ναβουχοδονόσορ, βασιλέως Ἀσσυ-
ρίων, ἐβασίλευσε Βαλτάσαρ, ὁ υἱὸς αὐτοῦ. ὅστις εἰς τὰ ἱερατι-
κὰ σκεύη τῶν Ἰουδαίων ὑπηρετεῖτο· ἐκίρνα δὲ καὶ ταῖς παλλακαῖς
αὐτοῦ εἰς αὐτὰ καὶ πᾶσι τοῖς συνεσθίουσιν αὐτῷ, ἐνυβρίζων
αὐτά. καὶ ἐν τῷ ἀνακεῖσθαι αὐτὸν ἐν ἀπονοίᾳ καὶ δειπνεῖν
ἑώρα ἔνθα ἀνέκειτο ἐν τῷ κατέναντι τοίχῳ τοῦ παλατίου ἐξαί- C
φνης ἀστράγαλον χειρὸς ἀνθρώπου γράφοντα, Μανῆ, θεκέλ, O 192
φαρές. καὶ ταῦτα γράψας ὁ ἀστράγαλος τῆς χειρὸς ἀφανὴς ἐγέ-
νετο. ὁ δὲ Βαλτάσαρ ἀναγνοὺς τὰ γράμματα ἐκάλεσε πάντας
τοὺς ἐπαοιδοὺς καὶ μάγους καὶ ἀστρονόμους καὶ ὀνειροκρίτας
τῆς χώρας αὐτοῦ, ἐπερωτῶν αὐτούς, Τίς ἐστιν ἡ δύναμις αὕτη
τοῦ ἀστραγάλου ἢ τίς ἡ ἑρμηνεία τῶν γραφέντων ὑπ' αὐτοῦ;
καὶ οὐδεὶς ἠδυνήθη ἑρμηνεῦσαι αὐτῷ. καὶ ἀκούσας ὅτι ὁ αὐτοῦ
πατὴρ ἐν πολλῇ τιμῇ εἶχε τὸν Δανιήλ, ὄντα ἐκ τῆς Ἑβραίων
αἰχμαλωσίας, ὅστις τὰ ὁράματα αὐτοῦ ἡρμήνευε, μετεστείλατο
τὸν Δανιὴλ καὶ λέγει αὐτῷ, Ἐπειδὴ χάρις ἐστὶ θεοῦ παρά σοι,
ἑρμήνευσόν μοι ὅπερ εἶδον τοῖς ἐμοῖς ὀφθαλμοῖς, καὶ τὴν τῶν D
γραμμάτων δύναμιν σαφήνισόν μοι. ὁ δὲ Δανιὴλ ἀκούσας καὶ

2. πλησίον Ch., πλησίων Ox. 20. ἡρμήνευε Ch., ἑρμήνευε Ox.

Circa haec tempora Lydi, vicinis gentibus armis subactis, dominari coeperunt. Lydorum rex primus Ardeus fuit; qui XXXVI annos regnavit. Subegit hic ditiones undique adjacentes atque regna: atque inde elatior factus, in summo fastu vitam egit.

Nabuchodonosoro autem successit, in regno Assyriorum, filius ejus, Baltasar: qui Judaeorum vasa sacra mensae suae in ministerium adhibuit: Quibus etiam, per ludibrium, misceri jussit vinum concubinis suis et convivis omnibus. Interim vero dum Rex Genio suo cum omni insolentia indulgeret; ecce articulus manus humanae, ex opposito coenaculi pariete subito emergens scribebat: *Mane*, *Thecel*. *Phares*. Scripsit haec manus articulus, et evanuit. Baltasar autem, perlecta scriptura, vocavit ad se Incantatores, Magos, Astrologos, et Somniorum interpretes, qui in Babylone fuerunt, omnes: et quaesivit ab iis: Quidnam sibi vellet Digitus visus; aut quale haberet ab illo scriptum interpretamentum? Caeterum nemo ista interpretari potuit. Rex autem certior factus, Danielem quendam, ex captivis Hebraeorum, summa in veneratione apud patrem suum fuisse, ob interpretationem Somniorum, Danielem accersit; et edixit ei: Quandoquidem Dei gratia in te est, interpretare mihi, quod oculis meis vidi; notumque mihi facito scripturae sensum. Daniel vero his auditis,

ἑωρακὼς τὴν δύναμιν τῶν γραμμάτων, λέγει αὐτῷ, Μακροθύμησον ἐπ' ἐμοί, βασιλεῦ, καὶ μὴ ὀργισθῇς, καὶ ἑρμηνεύσω σοι τὴν τῶν γραμμάτων δύναμιν. ὁ δὲ ἐπωμόσατο μὴ ποιεῖν αὐτῷ κακὸν ἑρμηνεύοντι. καὶ λέγει αὐτῷ ὁ Δανιήλ, Ὁ θεὸς τοῦ οὐρα-
V 64 νοῦ καὶ τῆς γῆς ἀγανακτήσας κατά σου ἐπλήρωσε τὴν βασιλείαν
O 193 σου. καὶ τοῦτο ἀκούσας ἀπέλυσεν αὐτὸν ἰδεῖν εἰ ἀληθεύει. καὶ μεθ' ἡμέρας Δαρεῖος ὁ Μῆδος, ὢν ἐτῶν ξ', τυραννήσας ἐπῆλθε καὶ ἔσφαξεν αὐτόν, καὶ ἔλαβε τὴν βασιλείαν αὐτοῦ.

Μετὰ δὲ τὴν βασιλείαν Δαρείου ἐβασίλευσαν ἕτεροι βασιλεῖς Ἀσσυρίων ἕως Ἀστυάγους. καὶ λοιπὸν ὁ Ἀστυάγης ἐβασίλευσε Περσῶν, ὃς ἐπεστράτευσε κατὰ τῶν Λυδῶν, ἀνελθὼν μετὰ δυνάμεως πολλῆς. ἐν ᾧ χρόνῳ ὁ ἥλιος ἐξέλειψεν ἐπὶ πολλὰς ὥρας τῆς ἡμέρας, προειπόντος Θαλοῦ τοῦ φιλοσόφου τὴν ἔκλειψιν τοῦ ἡλίου. ἐν τοῖς αὐτοῖς χρόνοις Πεισίστρατος πολεμῶν
B δημαγωγεῖ, τῶν Λυδῶν μὴ ἡττηθέντων τῷ πολέμῳ, ἀλλὰ τοῦ Ἀστυάγους ἀφ' ἑαυτοῦ ἀναχωρήσαντος. τότε τοῦτο γνόντες οἱ Πισαῖοι δευτέραν ἑορτὴν ἐπετέλεσαν ἀγῶνος Πυθίων, εὐχαριστοῦντες τῷ Ἡλίῳ, παρατιθέμενοι ἑαυτοὺς Λυδοῖς καὶ τῷ κράτει τῆς δυνάμεως αὐτοῦ.

O 194 Καὶ λοιπὸν ἐν τοῖς μετὰ ταῦτα ἐφηῦρον ἑορτὴν ἀγῶνος τρί-

12. ἐξέκλειψεν Ox. 15. Post δημαγωγεῖ excidisse quaedam videntur. 17. Πισαῖοι Ch., Πεισαῖοι Ox. Sic et infra. *ibid.* Πυθίων] Πυθίῳ Ox. Quod potest etiam Πυθίου scribi.

ubi vim Scripturae hujus percepisset, dixit Regi: „Si modo veniam mihi dabis, O Rex, nec iratus eris; verborum sensum ego tibi expediam.“ Respondens rex, juramento confirmavit, nihil mali eventurum illi ex interpretatione. Tum Regi Daniel; „Deus (inquit) Coeli et terrae, infensus tibi, regnum tuum ad exitum perduxit.“ Haec ubi audisset Rex, dimittit illum, praedictionis eventum expectaturus. Paucis vero post diebus, Darius Medus, cum annum ageret sexagesimum, contra regem arma movit: eoque interfecto, regnum sibi vendicavit.

Darium autem exceperunt caeteri Assyriorum reges usque ad Astyagem: qui deinceps Persis regnavit. Movebat hic bellum contra Lydos, ingenti veniens cum exercitu. Accidit autem eodem tempore solis defectio, quae per multas diei horas duravit; hanc vero Thales Philosophus praedixerat. Eodem tempore Pisistratus se belli ducem Lydis praebuit; qui cum Persis aequo Marte pugnantes, saltem non sunt devicti. Quia et Astyages ultro retrocessit. Quod cum intellexissent Pisaei, Solemnitatem illam alteram *Pythii* certaminis, solis in honorem, celebrarunt; subjicientes sese Lydorum imperio, et potestati ejus.

Posteris deinde temporibus, iidem Pisaei tertiam Solemnitatem indi-

του οἱ αὐτοὶ Πισαῖοι, τὰ Ἴσθμια τῷ Πλούτωνι. τετάρτην δὲ ἑορτὴν ἐφηῦρον ἀγῶνος οἱ αὐτοὶ Πισαῖοι, καὶ ἐπετέλεσαν τὰ Νέμεα τῷ Διονύσῳ.

Μετὰ δὲ τὴν βασιλείαν τοῦ Ἀρδέως ἐβασίλευσαν Λυδῶν ὀκτὼ ἕως Κροίσου τοῦ ὑπερηφάνου· ἐβασίλευσε δὲ ὁ αὐτὸς Κροῖσος ἔτη ιε'. κατέσχεν οὖν ἡ βασιλεία Λυδῶν τὰ πάντα C ἔτη σλβ'.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας αὐτοῦ ὁ αὐτὸς Κροῖσος ὑπέταξε πάσας τὰς ἐπαρχίας, ἤτοι βασιλείας, τὰς πλησίον αὐτοῦ καὶ τὰς πόῤῥωθεν, λαμβάνων ἀπὸ μὲν τῶν πειθομένων αὐτῷ φόρους, ἀπὸ δὲ τῶν ἀνθισταμένων αὐτῷ αὐτοὺς καὶ τὰς βασιλείας αὐτῶν. καὶ εἶχε φόβον πολύν, ὡς εὐτυχὴς καὶ νικητής· καὶ ὑπτιώθη. ἐν οἷς χρόνοις Σόλων ἐφιλοσόφει.

Μετὰ δὲ τὴν βασιλείαν Ἀστυάγους, βασιλέως Περσῶν, ἐγένετο βασιλεὺς Κῦρος ὁ Πέρσης· ὅστις ἐφίλησε τὴν γυναῖκα τοῦ πρὸ αὐτοῦ βασιλέως Δαρείου Βαρδάνην, καὶ ἔλαβεν αὐτήν. τῷ δὲ τεσσαρεσκαιδεκάτῳ ἔτει τῆς βασιλείας Κύρου Κροῖσος ὁ βα- D σιλεὺς τῶν Λυδῶν διδαχθεὶς ἀπὸ τῶν συγκλητικῶν αὐτοῦ τὴν πρώην τοῦ Ἀστυάγους, βασιλέως Περσῶν, ἐπὶ τὴν Λυδίαν πολεμικὴν παρουσίαν, ἠγανάκτησε. καὶ δηλοῖ Κύρῳ, τῷ βασιλεῖ O 195 Περσῶν, παραχωρῆσαι αὐτῷ τὴν βασιλείαν αὐτοῦ καὶ ἀναχωρῆσαι, ἢ δέξασθαι τὴν παρουσίαν τῆς εὐτυχεστάτης αὐτοῦ βασιλείας πολεμοῦσαν. ὁ δὲ Κῦρος, βασιλεὺς Περσῶν, δεξάμενος τοὺς

15. βασιλεὺς] βασιλέως Ox.

xerunt, *Isthmia* Plutoni celebrantes. Quartam denique addiderunt iidem Pisaei; *Nemea* scilicet: et haec in Bacchi honorem.

Ardeo successerunt, in regno Lydorum, reges alii VIII, usque ad Croesum illum superbum; qui regnavit annos XV. In universum itaque duravit Lydorum regnum annos CCXXXII.

Croesus autem imperium tenens, ditiones omnes, non vicinas tantum, sed et longe etiam dissitas, in potestatem suam redegit: tributa autem, ab eis qui dederunt se, exegit: repugnantibus vero et regna et libertatem ademit. Itaque reformidarunt eum omnes, tanquam hominem fortunatum, victoremque: inde rex elatior factus. Hoc tempore claruit Solon Philosophus.

Astyagi, in regno Persarum, succedebat Cyrus, Persa: qui et uxorem Darii regis, Antecessoris sui, Bardanem, quam amavit, in uxorem sibi accepit. Decimoquarto autem anno regnantis Cyri, Croesus, a Primoribus suis edoctus, de hostili illa irruptione, quam in Lydiam superioribus annis fecerat Astyages, Persarum rex; ira commotus est: atque ad Cyrum, Persarum regem mittit, qui ab eo postularent, uti vel regno suo decedat; aut cum foelicissimo rege congressurus, belli fortunam expectaret. Cyrus autem, legatis exceptis, et perlectis Croesi literis, respon-

σταλέντας πρέσβεις, καὶ ἀναγνοὺς τὰ παρ' αὐτοῦ γραφέντα, εἶπε
τοῖς πρεσβευταῖς, Τί γὰρ ἠδίκηται παρ' ἐμοῦ Κροῖσος, τοσαύ-
την γῆν ἀφεστηκὼς ἀπ' ἐμοῦ καὶ τῶν ἐμῶν βασιλείων; ἢ πῶς
τοσούτων διαδραμόντων χρόνων βλάβην χώρας διεκδικεῖ; καὶ
E ἀδημονῶν ἠβούλετο φυγεῖν ἐπὶ τὴν Ἰνδικὴν χώραν. ἰδοῦσα δὲ
αὐτὸν ἀθυμοῦντα ἡ γυνὴ αὐτοῦ, καὶ ἐπερωτήσασα καὶ μαθοῦ-
σα παρ' αὐτοῦ τὸ πρᾶγμα, λέγει αὐτῷ ὅτι Ἐπὶ Δαρείου, τοῦ
πρώτου μου ἀνδρός, ἦν ἀνήρ τις Ἑβραῖος, προφήτης, σοφίαν
ἔχων θεοῦ, ᾧ ὄνομα Δανιήλ, ἐκ τῆς αἰχμαλωσίας τῶν υἱῶν Ἰσ-
ραήλ, ὅντινα ἐν πολλῇ τιμῇ εἶχεν ὁ βασιλεὺς Δαρεῖος, καὶ δίχα
αὐτοῦ οὐδὲν ἔπραττεν ἐν τοῖς πολέμοις. καὶ ἐπερωτῶν αὐτὸν
V 65 O 196 ἡνίκα εἶχε πόλεμον, κατεπολέμει τοὺς ἐναντίους· ὅστις μετὰ τὴν
τελευτὴν ἐκείνου, πλούσιος ὢν καὶ γεγηρακώς, ἰδιάζει εἰς τὴν Μα-
ραβίτιδα χώραν. ὁ δὲ Κῦρος ἀκούσας ταῦτα, ἔπεμψε πρὸς αὐ-
τὸν τοὺς μεγιστᾶνας αὐτοῦ, ὅπως μετὰ τιμῆς ἀγάγωσιν αὐτόν·
οἱ δὲ ἀποσταλέντες ἀπὸ Κροίσου πρὸς Κῦρον ὑποστρέψαντες
εἰς τὴν Λυδῶν χώραν τὴν ἀπόκρισιν τὴν δοθεῖσαν αὐτοῖς ἀπὸ
Κύρου τῷ ἰδίῳ βασιλεῖ ἀπήγαγον.

Ὁ δὲ Κροῖσος, βασιλεὺς Λυδῶν, ἐπιλεξάμενός τινας ἐκ τῶν
ἰδίων αὐτοῦ ἀνθρώπων πιστούς, καὶ δοὺς αὐτοῖς δῶρα εὐτελῆ
καὶ ἕτερα δῶρα βασιλικά, ἀποστέλλει εἰς Δελφοὺς εἰς τὸ μαν-
τεῖον, εἰρηκὼς αὐτοῖς ὅτι Ἀλλάξατε τὸ σχῆμα ὑμῶν καὶ φορέ-
B σατε Αἰγύπτιον σχῆμα, καὶ ἀνελθόντες εἰς τὸ μαντεῖον ἐπίδοτε

3. βασιλείων Cedrenus p. 186. C, βασιλειῶν Ox. 21. Δέλφους Ox. bis.

dit eis „Ecquid injuriae a me Croeso illatum est, qui a me meisque regnis tanto terrarum spatio disjunctus est? Aut quomodo, tot jam elapsis annis, finium invasorum injurias nunc demum exigit?“ Et quidem Cyrus, anxius animi, in Indiam fugere in animo habuit: uxor vero eum tam perturbatum videns, quidnam ei in causa esset inquirit: et edocta rem, ita deinde eum alfatur, Regnante Dario, marito meo priore, vates quidam erat Ebraeus, ex captivitate Israelitica, nomine Daniel: fuit hic Divina sapientia praeditus; quemque rex Darius summo habuit in honore, nec, nisi cum eo prius communicata re, hostile aliquid aggressus est. Bellum autem suscepturus, ubi Danielem consuluerat, hostes ubique debellavit. Daniel autem iste, aetate jam grandior factus, et opibus abundans, post Darii obitum, in Marabitidem regionem privatam vitam acturus, recessit. Haec ubi audisset Cyrus, mittit ex Primoribus suis, qui Danielem honorifice adducerent. Legati interim, qui a Croeso ad Cyrum missi fuerant, Lydiam reversi, Cyri responsum regi suo retulerunt.

Croesus autem, Lydorum rex, fidos quosdam ex suis delegit, quos donis tum vilibus, tum regiis instructos, Delphos, ad Oraculum dimisit; dicens eis: „Habitu vestro mutato, Aegyptium vobis sumite: et Ora-

τὰ εὐτελῆ δῶρα τῷ ἱερεῖ, λέγοντες αὐτῷ ὅτι Αἰγύπτιοί ἐσμεν,
καὶ ἤλθομεν ἐπερωτῆσαι τὴν Πυθίαν, καὶ ἐκ τοῦ μήκους τῆς
ὁδοῦ ἐληθαργήσαμεν διὰ τί ἤλθομεν ἐπερωτῆσαι ἢ αἰτῆσαι·
ἀλλ' εὖξαι καὶ ἐπερώτησον τὴν θεὰν διὰ τί ἤλθομεν. καὶ εἰ μὲν
εἴπῃ ὑμῖν διὰ τί ἤλθετε, δότε καὶ τὰ βασιλικὰ δῶρα καὶ εἴπατε
τῷ ἱερεῖ μαθεῖν εἰ νικῶ τὸν βασιλέα Περσῶν τὸν Κῦρον. οἱ
δὲ λαβόντες τὰ δῶρα ἀπῆλθον εἰς Δελφοὺς εἰς τὸ ἱερόν, καὶ
ἔδωκαν τὰ δῶρα τὰ εὐτελῆ, καὶ εἶπον ἑαυτοὺς Αἰγυπτίους, καὶ
ὅτι Ἐληθαργήσαμεν διὸ ἤλθομεν. καὶ ἀκούσας ὁ ἱερεὺς ἐξεπλάγη, O 197
καὶ δεξάμενος τὰ δῶρα τὰ εὐτελῆ, εἰσελθὼν ηὔξατο, καὶ ἔλαβε τὴν
ἀπόκρισιν ταύτην παρὰ τῆς Πυθίας. Οἶδα ψάμμου τὸν ἀριθμὸν C
καὶ μέτρα θαλάττης· οὐ λαλέοντος δὲ ἀκούω καὶ κωφοῦ ξυνίη-
μι. παίζειν δέ με πειρᾶται Κροῖσος ὁ βασιλεὺς καὶ οἱ τούτου
Λυδοί. καὶ ἐξελθὼν ὁ ἱερεὺς εἶπεν αὐτοῖς, Οὐκ ἐστὲ Αἰγύπτιοι,
ἀλλὰ Λυδοί, καὶ οὐκ ἐληθαργήσατε, ἀλλὰ παίζοντες τὰ θεῖα εἰ-
ρήκατε ταῦτα. καὶ ἐπιδέδωκεν αὐτοῖς γράψας τὸν χρησμὸν ἐν
διπτύχοις εἰς τὸ εἰδέναι Κροῖσον τὸ θαῦμα. ἐκπλαγέντες δὲ οἱ
ἀπελθόντες ἐπιδεδώκασι καὶ τὰ ἄλλα βασιλικὰ δῶρα τῷ ἱερεῖ,
εἰπόντες αὐτῷ ὅτι Κροῖσος ὁ βασιλεὺς ἡμᾶς ἔπεμψεν, ἐπειδὴ πό-
λεμον ἔχει πρὸς Κῦρον, τὸν Περσῶν βασιλέα· ἀλλὰ μάθε εἰ νι-
κᾷ αὐτόν. καὶ εἰσελθὼν πάλιν ὁ ἱερεὺς καὶ εὐξάμενος ἔλαβε D
τὸν χρησμὸν τοῦτον. Κροῖσος Ἅλυν ποταμὸν διαβὰς μεγάλην O 198

3. διὰ om. Cedrenus. 5. δότε Ch., Cedrenus, δῶρα Ox. 10. τὰ εὐτελῆ] εὐτελῆ Ox. 13. παίζειν Ch., παίζην Ox.

culum adeuntes, viliora illa dona sacerdoti tradite; dicentes ei: Aegyptii sumus, et Oraculum consulturi venimus: ex itineris autem longitudine, omnino nobis excidit, quod sciscitaturi essemus. Itaque ipse Deam rogato; quamnam ob causam nos huc advenimus." Si autem dicat vobis, quorsum venistis; tum dona etiam regia illi dabitis; insuper eum rogantes, ut ab Apolline ediscat; utrum ego Cyrum, Persarum regem, superaturus sim. Legati itaque, donis acceptis, Delphos, ad Oraculum proficiscuntur: dona autem viliora Sacerdoti offerentes, dicunt se Aegyptios esse; itineris vero causam sibi excidisse. Hoc audito, obstupuit Sacerdos; dona autem vilia accipiens, fanum ingreditur: votisque conceptis, a Pythia tulit hoc responsum. „Novi ego arenae numerum, et maris mensuram. Audio etiam non loquentem, tacentemque intelligo. Egone ut a Croeso et Lydis ejus illudor dolis?" Egressus autem sacerdos, Vos, inquit, Aegyptii non estis, sed Lydi; nec oblivione capti, sed Numini illudentes, haec dixistis. Oraculi vero responsum, Diptychis exaratum, Sacerdos eis tradidit; ut Croesus Miraculum inde sciret. Legati autem attoniti, dona etiam pretiosiora illa sacerdoti obtulerunt, dicentes: Croesus rex noster cum Cyro, Persarum rege, bellum habiturus est: nos itaque misit consultum, an superior evasurus sit. Sacerdos itaque iterum ingressus, et precatus, hoc tulit responsum. „Croesus, Haly fluvio tra-

ἀρχὴν καταλύσει. καὶ γράψας καὶ τοῦτον τὸν χρησμὸν ἐν διπτύχοις δέδωκεν αὐτοῖς ἀπενεγκεῖν τῷ βασιλεῖ Κροίσῳ· καὶ ἀπέλυσεν αὐτούς.

Ὁ δὲ προφήτης Δανιὴλ εἰσῆλθε πρὸς τὸν βασιλέα Περσῶν Κῦρον· καὶ λέγει αὐτῷ, Εἰπέ μοι εἰ νικῶ Κροῖσον τὸν βασιλέα Λυδῶν. καὶ ἀνεβάλετο τοῦ εἰπεῖν ὁ Δανιήλ· καὶ ἀγανακτήσας κατ' αὐτοῦ ὁ βασιλεὺς ἔβαλεν αὐτὸν εἰς λάκκον λεόντων. καὶ μαθὼν ὅτι οὐδὲν ἔπαθεν ὑπὸ τῶν θηρίων, ἀνήνεγκεν αὐτὸν καὶ προσέπεσεν αὐτῷ λέγων, Ἥμαρτον εἰς σε· ἀλλ' εὖξαι τῷ θεῷ
E σου καὶ εἰπέ μοι εἰ δύναμαι ἀντιστῆναι τῷ ἅρπαγι τούτῳ καὶ ὑπερηφάνῳ Κροίσῳ, ὅτι πᾶσαν τὴν γῆν ὑπέταξε καὶ οὐκ ἐκορέσθη. καὶ ὁ Δανιὴλ εὐξάμενος εἶπεν αὐτῷ ὅτι Νικᾷς τὸν Κροῖσον καὶ λαμβάνεις αὐτὸν αἰχμάλωτον. περὶ σοῦ γὰρ εἶπεν ὁ θεὸς ὁ ποιήσας πάντα τὰ ὁρώμενα ταῦτα διὰ τοῦ προφήτου Ἡσαΐου, Οὕτως λέγει κύριος ὁ θεὸς τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς αὐτοῦ τοῦ ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη,
V 66 καὶ ἰσχὺν βασιλέων διαῤῥήξω· ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας,
O 199 καὶ πόλεις οὐ συγκλεισθήσονται. ἐγὼ ἔμπροσθεν αὐτοῦ προπορεύσομαι καὶ ὄρη ὁμαλιῶ καὶ θύρας χαλκᾶς συντρίψω καὶ μοχλοὺς σιδηροῦς συγκλάσω καὶ δώσω σοι θησαυροὺς σκοτεινοὺς ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι, ἵνα γνῷς ὅτι ἐγὼ κύριος ὁ θεός. ἐγὼ ἐγείρω αὐτὸν μετὰ δικαιοσύνης, πᾶσαι αἱ ὁδοὶ αὐ-

6. ἀνεβάλετο] ἀνεβάλλετο Cedrenus. 9. τῷ θεῷ Ch., Cedrenus, τοῦ θεοῦ Ox. 14. ὁ ποιήσας Ch. cum Cedreno, ἐποίησας Ox. 15. χριστῷ Ch., χρηστῷ Ox. Conf. Esaiae cap. 45.

jecto, imperium magnum evertit." Sacerdos autem responsum etiam hoc, tabulis inscriptum, dedit eis, regi Croeso deferendum: eosque sic dimisit.

Daniel autem propheta ingressus est ad Cyrum, Persarum regem; qui dixit ei: „Scire a te vellem, utrum ego Croesum, Lydorum regem, devicturus sum, necne." Cumque Daniel responsum differret, iratus rex, projici eum jussit in foveam leonum. „Edoctus vero, eum nihil a Leonibus perpessum; educi eum jussit; et ad pedes ejus procidens, in te (inquit) peccavi: sed Deum tuum invocato, et dicas mihi; an ego vires sustinere possim rapacis hujus et superbi Croesi, qui terra tota occupata, necdum satiatus est. Daniel itaque Deum precatus, respondit ei: Et Croesum vinces, et ipsum captivum habebis. De Te enim Deus, qui visibilia haec omnia condidit, per Prophetam suum Esaiam, ista locutus est. Sic dicit Dominus uncto meo Cyro, cujus apprehendi dexteram, ut obediant ante faciem ejus gentes: et robur regum diffringam; aperiam ante eum portas, et urbes non claudentur. Ego ante illum ibo, et montes complanabo, portas aereas conteram, et vectes ferreos confringam: et dabo tibi thesauros tenebrosos, absconditos et invisibiles aperiam tibi; ut scias, quia Ego Dominus Deus. Ego suscito illum cum justitia: omnes

τοῦ εὐθεῖαι. αὐτὸς οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει οὐ μετὰ λύτρων οὐδὲ μετὰ δώρων. εἶπε κύριος ὁ θεὸς σαβαώθ.

Ὁ δὲ βασιλεὺς Κῦρος ἀκούσας ταῦτα, ἔπεσε πρὸς τοὺς πόδας τοῦ Δανιὴλ λέγων, Ζῇ κύριος ὁ θεός σου, ἐγὼ ἀπολύσω ἐκ B τῆς ἐμῆς γῆς τὸν Ἰσραήλ, ἵνα λατρεύσωσι τῷ θεῷ αὐτῶν ἐν Ἱερουσαλήμ. καὶ ὁπλισάμενος παρετάξατο τῷ Κροίσῳ.

Ὁ δὲ βασιλεὺς Κροῖσος ἀκούσας τὴν τοῦ χρησμοῦ ἀπόκρισιν, ἐξῆλθε κατὰ Κύρου μετὰ δυνάμεως πολλῆς· καὶ παρῆλθε τὸν Ἅλυν, ποταμὸν τῆς Καππαδοκίας. καὶ συνέκρουσε Κύρῳ χειμῶνος ὄντος μεγάλου· καὶ ἡττηθεὶς ἠθέλησε φυγεῖν αὐτὸς καὶ τὰ πλήθη αὐτοῦ· καὶ πλημμυρήσαντος τοῦ ποταμοῦ ἐκ τοῦ χειμῶνος, οὐκ ἠδυνήθη φυγεῖν οὐδὲ περᾶσαι· καὶ ἐλήφθη αἰχμάλωτος αὐτὸς καὶ τὰ πλήθη αὐτοῦ, χιλιάδες υʹ.. τοὺς δὲ ζήσαντας ἐξ αὐτῶν ἔλαβεν αἰχμαλώτους ὁ Κῦρος ἅμα Κροίσῳ. καὶ O 200 στήσας αὐτὸν ἐν ξυλίνῳ τρίποδι ἐν ὕψει δεδεμένον ἐθριάμ- C βευσεν αὐτὸν τῷ στρατῷ αὐτοῦ. καὶ ἔλαβεν αὐτὸν καὶ κατήγαγεν ἐν Περσίδι. ταῦτα δὲ ἱστόρησαν οἱ σοφώτατοι Θάλης καὶ Κάστωρ καὶ Πολύβιος συγγραψάμενοι καὶ μετ' αὐτοὺς Ἡρόδοτος ὁ ἱστοριογράφος· ἅτινα καὶ ὁ σοφὸς Θεόφιλος ἐχρονογράφησεν.

Ὁ δὲ Κῦρος ὁ βασιλεὺς Περσῶν ἀπέλυσεν ἐκ τῆς αἰχμαλωσίας τοὺς υἱοὺς Ἰσραὴλ πάντας εὐθέως ἢ μόνον τὰ βασίλεια

15. Κύριος Ox. 18. Θάλης] V. Bentleius p. 71.

viae ejus rectae. Ipse aedificabit urbem meam, et Captivitatem populi mei dimittet, sine pretio, aut muneribus: dixit Dominus Sabaoth."

Haec ubi audiisset rex Cyrus, Danielis ad pedes procidit, et, vivit, inquit, Dominus Deus tuus; ego dimittam ex regno meo populum Israeliticum; ut Deum suum colant Hierosolymis. Tum exercitum suum contra Croesum eduxit.

Croesus autem, audito Oraculi responso, in Cyrum egressus est, ingenti cum exercitu. Trajecto autem Haly, Cappadociae fluvio, cum Cyro congressus est, multa tum hyeme: ab eo vero devictus, fuga sibi suisque consulere, in animo habuit: verum ab amnis exundatione impeditus, nec fugere potuit, nec trajicere. Ipse itaque vivus captus est; quadringenta etiam millia militum ceciderunt: superstites vero Cyrus, cum Croeso ipso, captivos adduxit. Eum vero in tripode ligneo positum, exercitui suo triumphandum praebuit: deinde in Persidem eum abduxit. Ista vero scriptis mandarunt Thales, Castor, et Polybius, Scriptores sapientissimi: et post hos, Herodotus Historiographus: sicut et sapiens Theophilus in Chronographia sua tradidit.

Cyrus autem, rex Persarum, in regnum suum reversus, quoscunque ex populo Israelitico captivos habuit, liberos esse jussit, et Zorobabele

αὐτοῦ κατέλαβεν ἐπὶ Ἱεροσόλυμα μετὰ Ζοροβάβελ ἐξελθεῖν· σκῆ-
πτρα δὲ δύο ἥμισυ, ἄνδρες καὶ γυναῖκες καὶ παιδία, τὸν ἀρι-
θμὸν μυριάδες πέντε, ἔμειναν εἰς τὰ Περσικὰ ἰδίᾳ προαιρέσει,
D φοβηθέντες τὰ ὄντα ἔθνη πέριξ. τὰ δὲ ἐννέα ἥμισυ ἐπανῆλθον,
καθὼς Τιμόθεος ὁ χρονογράφος συνεγράψατο. ἀπέλυσε δὲ αὐ-
τοὺς τοῦ Δανιὴλ αἰτήσαντος αὐτόν.

Μετὰ δὲ τὸ ἀπολέσθαι τὴν βασιλείαν τῶν Λυδῶν οἱ Σάμιοι
O 201 θαλασσοκρατήσαντες ἐβασίλευσαν τῶν μερῶν ἐκείνων. καὶ ἀκού-
σας μετὰ χρόνους Κῦρος ὁ βασιλεὺς Περσῶν, ἐπεστράτευσε κατ'
αὐτῶν, καὶ συμβαλὼν αὐτοῖς ναυμαχίᾳ πολεμήσας ἡττήθη καὶ
ἔφυγε, καὶ ἐλθὼν εἰς τὴν χώραν αὐτοῦ ἐσφάγη· περὶ οὗ πολέ-
μου Κύρου καὶ τῶν Σαμίων ὁ σοφώτατος Πυθαγόρας ὁ Σάμιος
συνεγράψατο· ὅστις καὶ εἶπεν αὐτὸν Κῦρον τεθνάναι εἰς τὸν
πόλεμον. ταῦτα δὲ πάντα καὶ ὁ σοφὸς Ἀφρικανὸς ἐχρονογρά-
φησε.

E Μετὰ δὲ τὴν βασιλείαν Κύρου ὁ υἱὸς αὐτοῦ Δαρεῖος ὁ καὶ
Καμβύσης καὶ ἄλλοι πολλοὶ ἐβασίλευσαν Ἀσσυρίων. ἐπὶ δὲ τῶν
χρόνων τῆς βασιλείας Δαρείου, τοῦ υἱοῦ Κύρου, ἐφιλοσόφει
παρ' Ἕλλησιν Ἀναξίμανδρος. ὅστις εἶπε τὴν γῆν μέσην εἶναι τοῦ
παντὸς κόσμου, καὶ τὸν ἥλιον οὐκ ἐλάττω τῆς γῆς ὑπάρχειν, ἀρ-
χὴν δὲ τῶν πάντων ἀέρα· ἐξ αὐτοῦ γενέσθαι καὶ τὰ πάντα εἰς
V 67 αὐτὸν ἀναλύεσθαι. καὶ τὴν τοῦ ἀνθρώπου ψυχὴν ἀερίαν καὶ τὸ
πᾶν πνεῦμα ἀπεφήνατο, μάταιον λογισμὸν πλάνης παρεισάγων.

1. σκῆπτρα Ch., Cedrenus, σκῆπτρον Ox.

duce, Hierosolymam repetere. Duae autem tribus, cum dimidia, virorum scilicet cum uxoribus liberisque quinquaginta millia, (quia ita ipsae voluerant, nempe metuentes sibi a circumvicinis gentibus:) in Perside remanserunt. Reliquae autem tribus novem, cum dimidia, in patriam suam redierunt: sicuti scripsit Timotheus Chronographus. Liberati autem sunt Judaei, Daniele impetrante.

Everso autem Lydorum regno, Samii, maris imperio potiti, regionibus istis imperitarunt: quod cum postea temporis Cyrus, Persarum rex, intellexisset, arma contra eos movit, commissoque cum iis praelio navali, victus, in fugam vertitur: et in terram suam reversus, interemptus est. Cujus inter Cyrum et Samios belli historiam, sapientissimus Pythagoras Samius contexuit: qui et autor est, Cyrum in ipso bello occubuisse. Haec autem omnia Africanus, in Chronographia sua, scripta reliquit.

Cyro successit in regno Assyriorum filius ejus Darius, qui et Cambyses: et hunc, alii plures. Temporibus autem regis Darii, filii Cyri, floruit inter Graecos Anaximander Philosophus. Docuit is, Terram mundi totius esse Centrum; Solem vero ipsa terra nihilo minorem esse: Aerem autem rerum omnium esse Principium; ex quo omnia ortum ducunt, et in quem resolvuntur. Spiritum praeterea quemcunque, ipsamque adeo Animam Humanam Aeriam esse, affirmavit; futiliter satis et inepte phi-

καὶ τὰς ἰσημερίας δὲ καὶ τὰς τροπὰς αὐτὸς ἐξέθετο. καὶ ὁ προειρημένος δὲ Πυθαγόρας ὁ Σάμιος τὴν ἀριθμητικὴν συνεγράψατο· καὶ δόγμα παρεισήγαγεν Ἕλλησιν δοξάζων ἀσωμάτους τινὰς εἶ- O 202
ναι ἀρχάς. ταῦτα δὲ ὁ σοφὸς Τιμόθεος ἐν τοῖς συγγράμμασιν αὐτοῦ ἀπεμνημόνευσεν.

Ἐν δὲ τῇ βασιλείᾳ Δαρείου, υἱοῦ Κύρου, πόλεμος ἐκινήθη ἀπὸ Αἰθιόπων κατ' αὐτοῦ· οἵτινες κακῶς αὐτὸν ἔφερον. τοῦτο δὲ γνόντες οἱ ἐν τῇ Μήδων χώρᾳ κατοικοῦντες Ἰουδαῖοι, ἀφέντες κατέλαβον τὴν Ἱερουσαλήμ· ἦν δὲ πλῆθος πολὺ Ἰουδαίων. καὶ B
μαθὼν τοῦτο Δαρεῖος ὁ Κύρου, ἀπέστειλε τὸν στρατηγὸν αὐτοῦ κατ' αὐτῶν ὀνόματι Ὀλοφέρνην μετὰ δυνάμεως πολλῆς εἰς τὰ Ἱεροσόλυμα. καὶ ἐπολιόρκει τὴν Ἱερουσαλήμ, καὶ συνέβη τι φοβερὸν γενέσθαι τότε. Ἰουδὶθ γάρ τις ἦν γυνὴ Ἑβραία, καὶ ἐμηχανήσατο κατὰ τοῦ ἐξάρχου Περσῶν Ὀλοφέρνου, προσποιητὴ οὖσα ὡς τὸ ἔθνος, φησί, τῶν Ἰουδαίων θέλουσα προδοῦναι. καὶ παρεγένετο πρὸς αὐτὸν κρυπτομένη· καὶ ἑωρακὼς αὐτῆς τὴν εὐμορφίαν ὁ Ὀλοφέρνης, εἰς ἔρωτα αὐτῆς ἐνέπεσε. καὶ λέγει αὐτῷ ὅτι Μηδένα ἐάσῃς ἐνταῦθα εἶναι ἐγγιστά μου δι' ἐμέ, ὅτι ἐπέρχονταί μοι πορνεῦσαί με βουλόμενοι· καὶ πεισθεὶς μόνος μετ' αὐτῆς διῆγε. τρεῖς δὲ αὐτὴ προσκαρτερήσασα αὐτῷ ἡμέρας, ὡς C
καθεύδει μετ' αὐτοῦ νυκτός, ἐγερθεῖσα τὴν κεφαλὴν αὐτοῦ ἀφείλετο· καὶ μέσης νυκτὸς ἐξελθοῦσα διὰ τοῦ παραπυλίου εἰσῆλθεν εἰς τὰ Ἱεροσόλυμα, τὴν κεφαλὴν αὐτοῦ βαστάζουσα. καὶ ἐπί- O 203

18. μου] σου Cedrenus p. 139. A.

losophatus. Aequinoctia etiam, Solstitiaque exposuit. Antedictus Pythagoras Samius, Arithmeticam conscripsit: Dogma etiam illud, de Principiis incorporeis, in Graeciam introduxit. Scripta autem reliquit ista sapiens Timotheus, in Commentariis suis.

Eodem regnante Dario, Cyri filio, bella contra eum movebant Aethiopes, ipsumque graviter vexabant: quod ubi rescivissent Judaei, Mediam incolentes, (quorum quidem ingens erat multitudo,) Media relicta, Hierosolymam repetebant. Hoc autem ubi Dario nunciatum est, Holophernem, ducem suum, magno cum exercitu, adversus Hierosolymam misit; qui et urbem obsidione cinxit. Accidit eo tempore admirandum quoddam facinus. Mulier quaedam erat Hebraea, nomine Judith, quae Holopherni, Persarum Duci, struxit insidias. Mulier autem prae se ferebat, prodere se ei velle Judaeorum gentem: Ideoque secreto eum adiit. Holophernes vero, forma ejus conspecta, amore illius captus est. Juditha vero eum monuit, ne quem suorum circa se ipsam esse permitteret: castitatis suae ab iis periculum causata. Holophernes itaque fidem ei adhibens, solus cum ea vixit. Cumque per tres dies apud eum commorata fuisset, inter dormiendum cum illo, mulier assurgens, caput ei amputavit: media deinde nocte per posticam egressa, caput ejus Hierosolymas secum deportavit. Prope enim ipsius urbis moenia, Judithae causa, ten-

τρέψε τοῦ κρεμασθῆναι αὐτήν· πλησίον γὰρ τοῦ τείχους δι'
αὐτὴν τὸν παπυλεῶνα αὐτοῦ ἔστησεν ὁ Ὀλοφέρνης. λαβόντες
οὖν οἱ Ἰουδαῖοι παρ' αὐτῆς τὴν κεφαλὴν εἰς κοντὸν ἐπάνω τοῦ
τείχους ἔπηξαν πρὸ αὔγους, ἐπιδεικνύντες αὐτὴν τῷ στρατῷ αὐ-
τοῦ. πρωίας δὲ γενομένης, ἑωρακότες οἱ Πέρσαι τὴν κεφαλὴν
Ὀλοφέρνου κοντευθεῖσαν, ὑπενόησαν ὅτι διὰ δυνάμεώς τινος
τοῦτο ἐγένετο καὶ ἔφυγον· καὶ διελύθη ὁ πόλεμος, καὶ νίκην ἔλα-
D βον οἱ Ἰουδαῖοι κατὰ Περσῶν. ταῦτα δὲ ἐν ταῖς Ἑβραϊκαῖς ἐμ-
φέρεται γραφαῖς. ταῦτα δὲ Εἰρηναῖος ὁ σοφὸς συνεγράψατο.

Μετὰ δὲ τὴν βασιλείαν Δαρείου ἐβασίλευσεν Ἀσσυρίων Ἀρ-
ταξέρξης· καὶ Νεεμίας ὁ ἱερεὺς ὁ ὢν ἐκ τοῦ σπέρματος Δαβίδ,
παῤῥησίαν ἔχων πρὸς αὐτόν, ἐδυσώπησε τὸν Ἀρταξέρξην· ἠγάπα
γὰρ αὐτόν, ὅστις καὶ ἄρχειν αὐτὸν τῶν εὐνούχων ἐποίησε· καὶ
O 204 λαβὼν χρήματα πολλὰ ἔπεισεν ἀπολυθῆναι αὐτὸν καὶ ἀπελθεῖν
τοῦ κτίσαι τὴν Ἱερουσαλὴμ τὴν πορθηθεῖσαν· πρώτη γὰρ αὕτη
τῆς Ἱερουσαλὴμ ἅλωσις καὶ τοῦ ἱεροῦ καταστροφή. ὁ δὲ Νεεμίας
ἀπολυθεὶς ἀνῆλθεν εἰς Ἱερουσαλήμ, καὶ ἀνήγειρεν αὐτὴν καὶ τὸ
τεῖχος τῆς πόλεως, καὶ τὰς πλατείας αὐτῆς ἐποίησεν εὐρυχώρους,
E καὶ βελτίω αὐτὴν κατέστησεν· ἦν γὰρ ἔρημος ἐπὶ ἔτη ο'. αὕτη
ἦν ἡ δευτέρα τοῦ ἱεροῦ ἀνοικοδομή. ἐπληρώθη δὲ τὸ ἱερὸν δι'
ἐτῶν μ'. ὁ δὲ αὐτὸς Ἀρταξέρξης παρακληθεὶς ὑπό τινων τῆς
συγκλήτου αὐτοῦ, καὶ τοὺς ὑπολοίπους Ἰουδαίους ἀπέλυσε, καὶ
εἴτις ἐὰν ἠβουλήθη τότε ἀνελθεῖν εἰς τὴν Ἱερουσαλήμ, ἀνῆλθε

4. αὔγους] αὐγοῦς Ox. 14. ἔπεισεν Cedrenus p. 139. B, ἐποίησαν Ox.

torium suum fixerat Holophernes. Judaei autem caput ab ea accipientes, conto impactum, e muro antelucule extulerunt, ostentantes illud Holophernis exercitui. Aurora autem illucescente, Persae Holophernis caput conto impositum conspicientes, effectumque hoc a Numine quodam existimantes, terga dederunt: atque sic dissolutum est bellum, Judaeis contra Persas victoria potitis: uti hoc constat ex scriptura Hebraica. Haec etiam sapiens Irenaeus memoriae mandavit.

Dario successit in regno Assyriorum Artaxerxes. Neemias autem Sacerdos, ex semine Davidis, qui apud regem plurimum poterat, (summe enim sibi charum habuit, ipsumque adeo Eunuchis suis praefecerat;) impetravit ab eo, uti libertati suae restitutus et pecuniis instructus, mitteretur ad Hierosolymarum ruinas instaurandas. Erat enim haec prima urbis Hierosolymitanae captivitas; prima etiam Templi eversio. Neemias itaque dimissus, Hierosolymas rediit; et ruinas ejus excitavit; plateas ejus ampliores fecit, urbemque adeo totam in melius redegit: quae quidem deserta erat per annos LXX. Tum etiam et Templum instauratum est: cujus secunda fabrica spatio XL. annorum absoluta est. Sed et Artaxerxes etiam Primoribus suis quibusdam ad id adductus, Judaeos etiam reliquos in patriam suam remisit. Liberum itaque cuique fuit, Hieroso-

*μετὰ Ἔσδρα τοῦ προφήτου καὶ ἡγουμένου· ᾧτινι καὶ τὰ ἱερὰ
σκεύη ἔδωκε καὶ τὰς βίβλους τὰς ἱερατικὰς τὰς εὑρεθείσας· ὁ δὲ
αὐτὸς Ἔσδρας τῶν μὴ εὑρεθέντων βιβλίων ἀπὸ ὑπομνήσεως αὐ-* V 68
τοῦ γράφεσθαι τὰ ὑπομνήματα ἐποίησεν.

*Ἐν δὲ τοῖς αὐτοῖς χρόνοις ἐβασίλευσεν ἡ Μακεδονία χώρα· ἐν
ᾗ πρῶτος ἐβασίλευσεν ὁ Κραναὸς ἔτη κη΄. καὶ λοιπὸν ἐβασίλευ-
σαν ἄλλοι κγ΄ ἕως Φιλίππου. ἦσαν δὲ τότε τὰ τῶν Ἑλλήνων δι-
δάσκοντες φιλόσοφοι καὶ ποιηταὶ Σοφοκλῆς καὶ Ἡρακλείδης
καὶ Εὐριπίδης καὶ Ἡρόδοτος καὶ Σωκράτης καὶ ὁ μέγας Πυ-
θαγόρας. ἦν δὲ Ἡρακλῆς γεννηθεὶς ἐν τοῖς προειρημένοις ἀνω-* O 205
*τέρω χρόνοις ἐν Λατῷ τῆς Θηβαΐδος, ἐκ γένους ὑπάρχων τοῦ
Ἡρακλέος τοῦ ἐκ τῆς Ἀλκμήνης καὶ τοῦ Πίκου Διός· ὅστις ἀνε-* B
*τράφη ἐν τῇ Ἱσπανίᾳ χώρᾳ, καὶ ἀνδρεῖος γενόμενος ἦλθε τότε
ἀπὸ τῆς Ἱσπανίας ἐπὶ τὴν Ἰταλίαν, φυγὼν τὸν Εὐρυσθέα βασι-
λέα· καὶ ἐβασίλευσεν ἔτη λη΄. ὅστις ἔλαβε γυναῖκα τὴν Αὔγην,
τὴν Ἀλέου θυγατέρα βασιλέως, ἐβασίλευσε δέ, ὡς ἐκ τοῦ γένους
κατερχόμενος τοῦ Πίκου Διός· ὅθεν καὶ στήλας αὐτῷ χρυσᾶς
καὶ πορφυρᾶς ἀνέστησαν οἱ Ἰταλοὶ καὶ βασιλεῖς, ἤτοι ῥῆγες, ἐκ
τοῦ γένους αὐτοῦ βασιλεύσαντες ἐν τοῖς ἐσχάτοις τῆς δύσεως μέ-
ρεσιν· αἵτινες στῆλαι ἕως τοῦ παρόντος ἵστανται.*

6. *Κραναός*] Sic etiam Cedrenus p. 139. D. 7. *κγ΄*] *κβ΄* dicere debebat. V. ad p. 22. A. 8. *Ἡρακλείδης*] Scribe *Ἡράκλειτος* cum Cedreno, Polluce p. 144. 11. *ἐκ γένους ὑπάρχων* [*τοῦ Ἡρακλέος, τοῦ ἐκ*] *τῆς Ἀλκμήνης καὶ τοῦ Πήκου Διός.*] „Ista, quae uncis inclusa sunt, desiderantur apud Cedrenum." Ch. 12. *Πήκου* Ox., ut solet. 15. *Αὐγὴν* Ox. Sic et infra.

lymas redire, cum Esdra Propheta; quem et Ducem habuerunt: quia etiam sacra reddebantur vasa; libri etiam Sacerdotales, quicunque inveniri poterant: eorum vero qui non inventi erant, Esdras ipse, ex Memoria sua, describendi copiam fecit.

Illis temporibus Macedonia Regi parere coepit. Regnavit illic primus Cranaus, annis XXVIII, et post eum alii XXIII, usque ad Philippum. Circa idem tempus floruerunt apud Graecos, Philosophi et Poetae, Sophocles, Heraclides, Euripides, Herodotus, Socrates etiam et Magnus Pythagoras. Temporibus autem supra memoratis, natus est Hercules, in Lato Thebarum; genus ducebat is ab Hercule, Pici Jovis et Alcmenae filio. In Hispania enutritus est; unde, cum virilior factus esset, in Italiam, cavens sibi ab Eurystheo rege, se recepit: ubi regnavit per annos XXXVIII. uxorem habuit Augen, Alei regis filiam, Italiae vero regnum vendicavit sibi, ut qui ex Jove Pico oriundus esset. Unde et, qui eum secuti sunt, ex genere ipsius, Italiae reges, statuas ei aureas et Porphyreticas, et in Occidentis finibus posuerunt: quae et etiamnum stantes visuntur.

Εἰσὶν οὖν ἀπὸ Ἀδὰμ ἕως τῶν χρόνων τούτων ἔτη ,ετξβ'.

C *Καὶ μετὰ Ἀρταξέρξην ἐβασίλευσαν τῶν Ἀσσυρίων ἄλλοι πολλοὶ ἕως Δαρείου τοῦ νεωτέρου.*

Τῆς δὲ Ἰταλίας ἐβασίλευσεν ὁ υἱὸς τοῦ Ἡρακλέος ὁ ἀπὸ τῆς Αὔγης, ὁ Τήλεφος. καὶ μετ' αὐτὸν ἐβασίλευσεν ὁμοίως ὁ υἱὸς αὐτοῦ, ὅντινα Λατῖνον ἐκάλεσεν· ἐβασίλευσε δὲ ἐν τῇ χώρᾳ ἐκείνῃ αὐτὸς Λατῖνος ἔτη ιη', καὶ ἐκ τοῦ ἰδίου ὀνόματος τοὺς Κιτιαίους καλουμένους ἐπωνόμασε Λατίνους.

O 206 *Τότε δὲ Αἰνείας ὁ Ἀγχίσου ὁ Φρὺξ φεύγων ἐκ τῆς πορθήσεως τοῦ Ἰλίου, ἤτοι τοῦ Τρωικοῦ πολέμου, ἀπῆλθεν ἐπὶ τὴν Λιβύην πρὸς τὴν Φοίνισσαν Διδὼ τὴν καὶ Ἐλισσάν. καὶ ἐνδιατρίψας ἐκεῖ, λάθρᾳ λύσας αὐτὴν ἔφυγεν, ὡς φοβηθεὶς τὸν*
D *Ἰάρβα, βασιλέα τῆς Ἀφρικῆς· καθὰ Βεργίλλιος ὁ σοφὸς Ῥωμαίων ποιητὴς συνεγράψατο. ὁ δὲ σοφώτατος Σέρβιος ὁ Ῥωμαῖος ἐν τοῖς αὐτοῦ συγγράμμασιν ἐξέθετο, εἰπὼν ὅτι μετὰ τὸ τελευτῆσαι τὸν Αἰνείαν ἔτη πολλὰ ἦν ἡ Διδὼ ἀπὸ πόλεως μικρᾶς λεγομένης Χαρτίμας, οὔσης τῆς παράλου Φοινίκης, μεταξὺ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος. ἥτις Διδὼ ἦν πλουσιωτάτη· ἔσχε δὲ ἄνδρα τινὰ ὀνόματι Συχαῖον, ὄντα καὶ αὐτὸν πλούσιον σφόδρα. τὸν δὲ αὐτὸν Συχαῖον ἐφόνευσεν, ὡς κυνηγοῦντα, ὁ ἀδελφὸς τῆς*

5. *Τήλεφος*] *Τελέβοος* Cedrenus. Vid. Bentlei. p. 73. 6. *δὲ δὲ* Ox. 7. *Κιτιαίους*] *Σκιτίνους* Ox., *Κτηταίους* Cedrenus, eodem modo corrigendus. 9. *Αἰνείας* Ch., *Αἰνίας* Ox. 13. *Ἰάρβα*] Scr. *Ἰάρβαν*. *Ἰορδάν* Cedrenus. Eodem fere modo in homine cognomine variant libri Eutropii V. 9. 17. *Χαρτίμας*] *Χαρτικῆς* Cedrenus.

Ab Adamo autem, usque ad haec tempora, anni effluxerunt MMMMCCCLXII.

Post Artaxerxem vero Assyriis imperaverunt alii plurimi usque ad Darium secundum.

Italiae autem regnavit Telephus, Herculis ex Auge filius. Telepho etiam successit filius ejus, nomine Latinus. Regnum hic tenuit, per annos XVIII; quique antea Scitini vocabantur, Latinos eos, a nomine suo appellavit.

Eodem tempore Aeneas Phryx, Anchisae filius, post Ilii excidium bellumque Trojanum, fuga sibi prospiciens, Libyam profectus est, ad Didonem, quae et Elissa dicta est, a Phoenicibus oriundam. Non diu autem ibi commoratus, Didone relicta, clam aufugit; nempe metuens sibi ab Jarba, rege Africae: sicut Virgilius, sapiens Romanorum Poeta scriptum reliquit. Juxta autem ac Servius sapientissimus Romanus, in scriptis suis tradidit, ita hoc modo se res habet. Longo post Aeneam mortuum tempore, Dido erat; oriunda quidem ex Chartima, exigua et maritima Phoeniciae urbe, quae fines Tyri et Sidonis interjacet. Erat autem haec opulentissima; sicuti et fuerat etiam Sichaeus, maritus ejus:

Διδὼ ὀνόματι Πυγμαλίων, διαφθονούμενος αὐτῷ, ὡς πολὺ εὐ-
πόρῳ καὶ κελεύοντι πάσῃ τῇ χώρᾳ ἐκείνῃ. ἦσαν γὰρ οἱ δύο
ἔφιπποι καταδιώκοντες σύαγρον καὶ βαστάζοντες βήναβλα· ἐκ E
τῶν ὀπισθίων οὖν ἐλθὼν ὁ Πυγμαλίων δέδωκε τῷ Συχαίῳ κατὰ O 207
τοῦ νώτου αὐτοῦ τῇ λόγχῃ, καὶ ἐφόνευσεν αὐτόν· ἦν γὰρ γεν-
ναῖος· καὶ λαβὼν τὸ λείψανον αὐτοῦ ἔῤῥιψεν εἰς κρημνόν. καὶ
ὑποστρέψας εἶπε τοῖς διαφέρουσιν αὐτῷ καὶ τῇ γαμετῇ αὐτοῦ ὅτι
ὡς κατεδίωκε τὸν σύαγρον κατεκρημνίσθη. ἠβούλετο δὲ ὁ αὐτὸς
Πυγμαλίων καὶ τὴν αὐτοῦ ἀδελφὴν φονεῦσαι καὶ λαβεῖν τὰ χρή-
ματα πάντα. ἥτινι Διδὼ ἐφάνη ἐν ὁράματι ὁ αὐτῆς ἀνὴρ Συ-
χαῖος καὶ εἶπεν αὐτῇ, Φύγε, μή σε φονεύσῃ Πυγμαλίων, δείξας
αὐτῇ καὶ τὸν τόπον τῆς πληγῆς. καὶ λοιπὸν ἡ αὐτὴ Διδὼ λα- V 69
θοῦσα τὸν ἑαυτῆς ἀδελφὸν Πυγμαλίωνα, καὶ εὑροῦσα καιρόν,
ἔλαβε πάντα τὰ χρήματα τὰ ἑαυτῆς, καὶ βαλοῦσα εἰς πλοῖα
μετὰ τῶν ἰδίων ἀνθρώπων αὐτῆς φυγοῦσα ἀπέπλευσεν ἐκ τῆς
Φοινίκης, καὶ ἦλθεν εἰς τὴν Λιβύην, χώραν τῆς Ἀφρικῆς. καὶ
κτίζει ἐκεῖ πόλιν μεγάλην πάνυ, ἣν ἐκάλεσε Καρτάγεναν· καὶ
ἐβασίλευσεν ἐν αὐτῇ, καὶ ἐκεῖ τελευτᾷ σωφρόνως ζήσασα.

Ὁ δὲ Αἰνείας χρησμὸν λαβὼν ἀπέπλευσεν ἀπὸ τῆς Λιβύης,
βουλόμενος ἐπὶ τὴν Ἰταλίαν ἐλθεῖν. ἀνέμου δὲ ἐναντίου γενομέ-
νου, ἐξεῤῥίφη μετὰ τῶν ἰδίων πλοίων πλησίον τῆς Σικελίας εἰς
τὴν Καλαβρίαν ἐν πόλει λεγομένῃ Ἀργυρίππῃ, τῇ κτισθείσῃ
ὑπὸ Διομήδους τοῦ Τυδέως. ὅστις ὑπῆρχεν Αἰτωλὸς τῷ γένει, B

17. Καρτάγεναν] Χαρταγαίναν Ox. Conf. vol. II. p. 68. B.

cui Didonis frater, Pygmalion, invidens, (tum quod ditissimus esset, tum etiam quod omnem in exercitu regionem sibi subjectam teneret:) eum, inter venandum, trucidavit. Cum enim duo isti, venabulis instructi, equites aprum persequerentur; Pygmalion, tergo veniens, Sichaeum, (qui vir erat strenuus,) dorso hasta transfixo, interfecit; corpusque ejus correptum, in praeceps dedit. Reversus autem a venatione, necessariis et uxori ejus retulit: eum, dum aprum insequeretur, praecipitem actum periisse. Habuit etiam in animo Pygmalion sororem suam e medio tollere, divitiasque ejus omnes occupare. Sed apparuit per insomnium Didoni Sichaeus conjux; qui monuit eam; Fuge, (inquiens,) ne te Pygmalion occidat: simulque ei vulneris locum ostendit. Dido itaque, tempus nacta opportunum, clam fratre, divitias suas omnes congerit: quibus in naves conjectis, simul cum suis ex Phoenicia fugiens, in Libyam, Africae regionem, pervenit: ubi urbe maxima extructa, Carthaginem appellavit: ibique sedem regni constituens, vitam pudice actam absolvit.

Aeneas autem Oraculo monitus a Libya solvit, in Italiam navigaturus: sed adversis jactatus ventis, delatus est cum classe sua ad Argyrippam, Calabriae urbem, non procul a Sicilia sitam. Conditorem habuit urbs ista Diomedem, Tydei filium: Tydeus autem, Aetolia oriundus, ab

φέρων τὴν συγγένειαν ἐκ τοῦ Οἰνέως, βασιλέως τῆς Αἰτωλίας.
ὅστις Οἰνεὺς ἀγαγόμενος γυναῖκα ὀνόματι Ἐρίβοιαν ἔσχεν ἐξ
O 208 αὐτῆς τὸν Τυδέα. καὶ ἐτελεύτησεν ἡ Ἐρίβοια, καὶ ἠγάγετο ἑτέραν
γυναῖκα ὀνόματι Ἀλθαίαν· καὶ ἔσχεν ἐξ αὐτῆς τὸν Μελέαγρον
καὶ θυγατέρα ὀνόματι Δηιάνειραν. νεώτερός τις ὀνόματι Ἀχε-
λῷος, υἱὸς Ποσειδωνίου, συγκλητικοῦ τοῦ Τυδέως, ἐμνηστεύσατο.
ὁ δὲ Ἀχελῷος πρὸ τοῦ γάμου ἔφθειρε τὴν Δηιάνειραν λάθρᾳ,
καὶ μετὰ ταῦτα λέγει τῷ πατρὶ αὐτῆς τῷ Οἰνεῖ, Οὐκ ἄλλως
λαμβάνω τὴν θυγατέρα σου, εἰ μὴ παραχωρήσεις μοι τὸ βασί-
λειόν σου διοικεῖν. ὁ δὲ οὐκ ἐπείσθη αὐτῷ· καὶ λοιπὸν σὺν τῷ
C ἰδίῳ πατρὶ ἀντῆρεν ὁ Ἀχελῷος τῷ Οἰνεῖ καὶ ἐπολέμησεν αὐτῷ.
καὶ ἠναγκάσθη ὁ Οἰνεὺς προτρέψασθαι ἐκ τῆς Φθίας χώρας
στρατηγὸν γενναῖον, Ἡρακλέα τὸν λεγόμενον Πολύφημον, συν-
ταξάμενος διδόναι αὐτῷ τὴν ἑαυτοῦ θυγατέρα τὴν Δηιάνειραν.
ὅστις κατελθὼν μετὰ τῆς ἐνόπλου αὐτοῦ στρατιᾶς συνέβαλε
πόλεμον μετὰ Ποσειδωνίου καὶ τοῦ υἱοῦ αὐτοῦ Ἀχελῴου. καὶ εἰς
τὴν συμβολὴν ξίφει ὁ Πολύφημος τὸν Ποσειδώνιον ἀνεῖλε, τὸν
πατέρα Ἀχελῴου· διὰ τοῦτο δὲ ἐξέθεντο οἱ ποιηταὶ ὅτι τὸ κέρας
τοῦ Ἀχελῴου ἀπέσπασεν ὁ Ἡρακλῆς, ὅπερ ἐστὶ τὴν πατρικὴν αὐ-
τοῦ δύναμιν. καὶ ἑωρακὼς τὸν ἴδιον αὐτοῦ πατέρα πεσόντα, φεύ-
γει ἔφιππος· διὸ καὶ γράφουσιν αὐτὸν ἱπποκένταυρον. καὶ ἐν τῷ
D καταδιώκειν αὐτὸν τὸν Πολύφημον Ἡρακλέα στραφεὶς τοξεύσ-

5. νεώτερός τις, ὀνόματι Ἀχελῷος] „Legendum ἥντινα νεώτερός τις. Cedrenus, ἐξ ἧς ἔσχε τὸν Μελέαγρον, καὶ τὴν Δηιάνειραν, ἥντινα ἡρμόζετο Ἀχελῷος.“ Ch. ibid. Ἀχελῷος Ox. semper. 15. στρατιᾶς Cedrenus, στρατειᾶς Ox.

Oeneo, Aetolorum rege genus ducebat: qui uxorem habuit Eriboeam, Tydei matrem. Eriboea autem fatis defuncta, uxorem duxit alteram, nomine Althaeam: ex qua filium suscepit Meleagrum; filiamque Deianiram. Hanc juvenis quidam, Achelous, Posidonii filius, qui Tydei ex consiliariis fuit, desponsatam sibi habens, ante nuptias clanculum vitiavit: deinde vero Oeneo, patri ejus, dixit, filiam illius se non alia conditione ducturum, nisi et regni administrationem etiam sibi concederet. Oeneo vero renuente, Achelous, cum patre suo, bellum ei infert. Necessitate igitur adactus Oeneus, in auxilium sibi, ex Phthia regione, ducem strenuum, Herculem quendam, qui et Polyphemus dictus est, vocavit: cui etiam in uxorem dare Deianiram filiam promisit. Polyphemus itaque, cum exercitu veniens, in Posidonium filiumque ejus Acheloum, arma movit. In ipso autem congressu, Polyphemus Posidonium, Acheloi patrem, gladio peremit. Unde Poetae fabulantur, Herculem Achelui cornu avulsisse; Paternum scilicet auxilium. Achelous autem, ubi patrem caesum vidit, fugam eques capessit, unde et eum Hippocentaurum fuisse fingunt. Fugientem autem Acheloum dum Polyphemus insequitur, conversus Ache-

αὐτὸν κατὰ τοῦ μαστοῦ· καὶ εὐθέως ὁ Ἡρακλῆς ἀντετόξευσε τὸν O 209
Ἀχελῷον, ὡς περᾷ τὸν ποταμὸν ὀνόματι Φορβάν. καὶ φιβλω-
θεὶς ὁ Ἀχελῷος κατηνέχθη ἀπὸ τοῦ ἵππου εἰς τὰ ῥεῖθρα τοῦ
ποταμοῦ καὶ ἀπώλετο. καὶ μετεκλήθη ἔκτοτε ὁ αὐτὸς ποταμὸς
ἀπὸ τῶν τῆς Αἰτωλίας χώρας Ἀχελῷος ἕως τῆς νῦν, καθὰ Κε-
φαλίων ὁ σοφὸς ἐξέθετο. ὁ δὲ Πολύφημος Ἡρακλῆς ἐκ τῆς
πληγῆς τοῦ μαστοῦ μεθ' ἡμέρας τινὰς τελευτᾷ.

Μελέαγρος δὲ ὁ τοῦ Οἰνέως υἱός, ἀδελφὸς δὲ τοῦ Τυδέως
καὶ Δηιανείρας, ἐποίησεν ἆθλον μέγαν ἐν τῇ Καλυδωνίᾳ χώρᾳ,
φονεύσας κάπρον φοβερόν, τῆς Ἀταλάντης τῆς θυγατρὸς τοῦ
Σχοινέως οὔσης μετ' αὐτοῦ· ἥτις προποιήσασα τοξεύει τὸν E
σύαγρον· ἐλυμαίνετο γὰρ οὗτος ὁ θὴρ πᾶσαν τὴν χώραν ἐκεί-
νην. καὶ μετὰ τὴν ἀναίρεσιν τοῦ θηρὸς τὸ δέρμα αὐτοῦ ἐχα-
ρίσατο ὁ Μελέαγρος τῇ Ἀταλάντῃ, εἰς ἔρωτα αὐτῆς βληθείς.
ἀπελθὼν δὲ ὁ Μελέαγρος πρὸς τὸν ἑαυτοῦ πατέρα Οἰνέα, ἀπῃ- O 210
τήθη παρ' αὐτοῦ τὰ νικητήρια τοῦ θηρός· καὶ μαθὼν ὅτι τῇ
Ἀταλάντῃ τὸ δέρμα ἐχαρίσατο, ὀργισθεὶς κατὰ τοῦ ἰδίου υἱοῦ,
ὃν εἶχε θαλλὸν ἐλαίας, φυλαττόμενον παρὰ τῇ Ἀλθαίᾳ τῇ ἑαυ- V 70
τοῦ μὲν γυναικί, μητρὶ δὲ τοῦ Μελεάγρου, ὅντινα θαλλὸν τῆς
ἐλαίας ἡ Ἀλθαία ἔγκυος οὖσα ἐπιθυμήσασα ἔφαγε, καὶ κατα-
πιοῦσα τὸ φύλλον τῆς ἐλαίας εὐθέως τεκοῦσα συνεγέννησε τὸ τῆς
ἐλαίας φύλλον σὺν τῷ Μελεάγρῳ· περὶ οὗ χρησμὸς ἐδόθη τῷ
πατρὶ αὐτοῦ τῷ Οἰνεῖ τοσοῦτον χρόνον ζῆν τὸν Μελέαγρον

9. μέλαν Ox. 13. ἀναίρησιν Ox. 18. 19. θαλλὸν] θάλ-
λον Ox.

lous, sagitta in eum emissa, juxta mamillam vulnerat. Polyphemus autem Achelouin, dum Phorbam fluvium trajicit, sagitta vicissim petivit: quo confossus Achelous, ex equo in flumen deturbatus, ibidem periit. Flumen itaque istud Aetoli Acheloum ad hunc usque diem vocant: sicut auctor est sapiens Cephalion. Polyphemus etiam, paucos post dies, ex vulnere in mamilla accepto, interiit.

Meleager autem, Oenei filius, Tydei et Deianirae frater, egregium sane certamen obivit, aprum horrendum prosternens, in terra Calydonia. Sociam vero facinoris habuit Atalantam, Schoenei filiam: quae et ipsa aprum sagittis prius percusserat: regionem enim eam omnem vastabat fera ista. Meleager autem apri interfecti exuvium Atalantae, cujus amore captus erat, dono dedit. Meleagro vero ad Oeneum patrem reverso, occisi apri spolia sibi dari ab eo postulabat: ubi vero audisset, Atalantae illa filium dedisse; ira correptus, olivae frondem, quam uxor sua, Meleagri mater, apud se servaverat, in ignem projecit. Althaea enim uterum ferens, olivae frondem summopere expetivit: et fronde devorata, simul cum Meleagro, frondem olivae e vestigio enixa est. Oeneus vero, infantis pater, ab Oraculo accepit, filium tam diu in vivis futurum esse,

ὅσον χρόνον φυλάττεται τὸ φύλλον τῆς ἐλαίας τὸ μετ' αὐτοῦ γεννηθέν· ὅπερ φύλλον ὀργισθεὶς ὁ Οἰνεὺς εἰς πῦρ ἔβαλε, καὶ ἐκαύθη, ἀγανακτήσας κατὰ τοῦ ἰδίου υἱοῦ· καὶ παραχρῆμα ὁ Μελέαγρος ἐτελεύτησεν, ὡς ὁ σοφὸς Εὐριπίδης δρᾶμα περὶ τοῦ αὐτοῦ Μελεάγρου ἐξέθετο.

B Μετὰ δὲ τὴν βασιλείαν τοῦ Οἰνέως ἐβασίλευσε τῆς Αἰτωλίας ὁ ἄλλος υἱὸς αὐτοῦ ὁ Τυδεύς, ὁ πατὴρ τοῦ Διομήδους. ὁ δὲ Διομήδης μετὰ τὴν τελευτὴν τοῦ ἰδίου πατρὸς Τυδέως ἐβασίλευσε τῆς Ἀργείων χώρας, ἀγαγόμενος ἐκ τοῦ Ἄργους γυναῖκα ὀνόματι Αἰγιάλειαν. καὶ ἀπονοηθεὶς ὑπέταξε τὴν ἑαυτοῦ χώραν τὴν Αἰτωλίαν, πολεμήσας αὐτούς· καὶ καταλύσας τὸ βασίλειον αὐτῆς καὶ ποιήσας αὐτὴν ὑπὸ τὴν Ἀργείων βασιλείαν, τοῦτ' O 211 ἐστὶν ὑπὸ τὸ ἴδιον κράτος, καὶ εὐθέως μετὰ τῶν Ἀχαιῶν ἐξώρμησεν ἐπὶ τὸν Τρωικὸν πόλεμον. καὶ ἐπανελθὼν μετὰ τὴν νίκην τῆς Τροίας ἐπὶ τὸ ἴδιον αὐτοῦ βασίλειον οὐκ ἐδέχθη ὑπὸ τῆς ἰδίας πόλεως ἢ τῆς συγκλήτου αὐτοῦ, ἀλλ' ἀντέστησαν αὐτῷ ἐν C δυνάμει πολεμοῦντες. μαθὼν δὲ ὅτι ἡ γυνὴ αὐτοῦ ἡ Αἰγιάλεια κατασκευάζει αὐτῷ θάνατον, ὡς πορνευθεῖσα ὑπό τινος συγκλητικοῦ αὐτοῦ, ὅστις καὶ ἀνθίστατο αὐτῷ κραταιῶς, ὁμοίως δὲ ἀκούσας ὅτι ἐπορνεύθη ὑπὸ τοῦ Οἴακος, υἱοῦ τοῦ Ναυπλίου, οἵτινες διὰ τὸν πρὸς αὐτὴν ἔρωτα πολλῷ σθένει ἀντεμάχοντο αὐτῷ, καθὼς ὁ σοφὸς Δίδυμος ἐξέθετο, προσεσχηκὼς δὲ ὁ Διομήδης τοὺς ἡγεμόνας καὶ πᾶσαν τὴν Ἀργείων χώραν ἀνθισταμέ-

1. φυλάττεται Cedrenus, φυλάττετο Ox. 4. δρᾶμα Ch., δρᾶμμα Ox. 20. Οἴακος Bentleius p. 75., Ὕακος Ox.

quam asservatam habuerit olivae frondem, eodem partu editam. Hanc autem pater, ira in filium concitatus, in ignem conjecit: qua ignibus absumpta, Meleager statim efflavit animam: uti in Dramate suo, de Meleagro isto, scriptum tradidit Euripides.

Oeneo successit in Aetolorum regno filius alter, Tydeus, pater Diomedis. Diomedes vero, patre defuncto, Argivorum regnum obtinuit; uxore Argiva ducta nomine Aegialia: caeterum insania concitus, contra Aetolos arma movens, propriam ditionem subegit: Aetoliaeque regno dissoluto, Argivorum eam, quo ipse potitus fuerat, imperio subjecit. Inde cum Achaeis, in bellum Trojanum, profectus est. Troja autem eversa, in regnum suum reversum, nec populus, nec Primores eum receperunt; sed et armis etiam eum depulerunt. Ubi autem didicisset, uxorem Aegialiam vitae suae insidias struxisse: (stuprata enim ea fuerat a quodam ex Nobilibus ejus; qui, una cum Hiace, Nauplii filio, ejusdem etiam criminis participe, ob Aegialiae amorem, summis viribus Diomedi obsistebat:) insuper etiam apud se recogitans, Argivorum Duces, totumque adeo po-

την αὐτῷ, μὴ δυνάμενος δὲ ἀπελθεῖν μηδὲ ἐπὶ τὴν Αἰτωλίαν, τὴν ἰδίαν αὐτοῦ βασιλείαν, ὡς λύσας αὐτῆς τὸ βασίλειον, παραχωρήσας τὴν ἰδίαν αὐτοῦ βασιλείαν ἀνεχώρησεν, ἀποπλεύσας ἐπὶ τὴν Καλαβρίων χώραν· καὶ κτίζει πόλιν ἐκεῖ παραλίαν, ἣν ὠνόμασεν Ἀργυρίππην, ὡς προγέγραπται, τὴν μετακληθεῖσαν D Βενίβεντον νῦν. καὶ δεξάμενος τὸν Αἰνείαν ἐκριφέντα ἐν τῇ O 212 αὐτῇ πόλει κατέσχεν, ἐν πόλλῃ τιμῇ καὶ θεραπείᾳ ἔχων αὐτόν· καὶ συνδιῆξεν αὐτῷ ὁ Αἰνείας τὸν χειμῶνα.

Καὶ λέγει τῷ Διομήδει ὁ Αἰνείας, Ἔγνων ὅτι τὸ θεῖον Παλλάδιον τὸ ἐν τῇ Τροίῃ ἀποκείμενον ἐκομίσω, ὅπως ἐπιγραφῇ δίδοται τὸ Παλλάδιον τῷ Αἰνείᾳ. ὁ δὲ Διομήδης εἶπεν αὐτῷ ὅτι Ἐξ οὗ τοῦτο μετὰ τοῦ Ὀδυσσέως ἀφειλόμην οὐκ ἔλειψάν μοι συμφοραὶ οὔτε τῷ ἐμῷ στρατῷ· ὅθεν ἠναγκάσθην αἰτῆσαι τὴν Πυθίαν περὶ αὐτοῦ· καὶ ἐδόθη μοι χρησμὸς ἀποδοῦναι αὐτῷ τοῖς Τρωσί. καὶ εἶπεν ὁ Αἰνείας, Δός μοι αὐτό. καὶ εὐθέως ποιήσας θυσίαν ὁ Διομήδης παρέσχε τὸ Παλλάδιον τῷ Αἰνείᾳ. καὶ E λαβὼν αὐτὸ ὁ Αἰνείας, καταφθάσαντος τοῦ θέρους, ἐξώρμησεν ἐπὶ τὴν Ἰταλίαν πρὸς τὸν Λατῖνον· καὶ ἑαυτὸν συμμίξας αὐτῷ μεθ' ἧς εἶχε βοηθείας ἐνόπλου στρατοῦ τῶν Φρυγῶν, ἐπολέμησαν τοῖς Ῥουστούλοις· καὶ εἰς αὐτὸν τὸν πόλεμον ὁ Λατῖνος ὁ τοῦ Τηλέφου υἱὸς ἐσφάγη, καὶ ἤνεγκαν οἱ Ῥουστοῦλοι τὰς ἐπάνω.

1. μηδὲ Cedrenus, μήτε Ox. 4. Καλαβρίων] Καλαβρίαν Cedrenus. 10. ὅπως ἐπιγραφῇ δίδοται] Haec vix sana.

pulum hostes se habere; neque integrum sibi esse, in patriam suam Aetoliam redire, cujus imperium ipse dissolverat: regno suo relicto, in Calabriam navigavit; ubi urbem condidit maritimam, quam Argyrippam, uti diximus, appellavit; Beneventum haec nunc vocatur: sicuti haec a sapiente Didymo narrantur. Ad hanc ipsam urbem ventis jactatum Aeneam Diomedes humaniter et honorifice excepit: cujus etiam hospitio usus est Aeneas per totam Hyemem.

Diomedem autem Aeneas affatus; Novi, inquit, divinum Palladium, Trojae olim religiose asservatum, et a Te exinde delatum, ex Inscriptione mihi Aeneae deberi. Ad haec Diomedes; ex quo, inquit, Palladium hoc ab Ulisse accepi, multas ego exercitusque meus calamitates experti sumus. Coactus itaque Oraculum de hac re consulere, responsum tuli; Palladium Trojanis reddendum esse. Mihi itaque reddas: inquit Aeneas. Diomedes igitur, sacris rite peractis, Palladium Aeneae tradidit. Aeneas autem, Palladio accepto, aestate tum ineunte, in Italiam, ad Latinum, profectus est: et societate cum eo inita, exercitum, quem ex Phrygis armatum habuit, contra Rutulos duxit. In hoc bello Latinus, Telephi filius, cecidit; victoriaque penes Rutulos erat.

Καὶ ἀπῆλθεν ὁ Αἰνείας πρὸς τὸν Εὔανδρον καὶ τὸν υἱὸν
V 71 αὐτοῦ Πάλλαντα, ἄνδρας πολεμικωτάτους· οἵτινες διῆγον εἰς
τὴν Ἰταλίαν, οἰκοῦντες κώμην λεγομένην Βαλεντίαν, ἰθύνοντες
O 213 ἐπαρχίαν μίαν. ἐν ᾗ κώμῃ καὶ ἔκτισεν ὁ Πάλλας οἶκον μέγαν
πάνυ, οἷον οὐκ εἶχεν ἡ περίχωρος ἐκείνη, ὅστις οἶκος ἐκλήθη τὸ
Παλλάντιν, καὶ ἀπὸ τότε ἐκλήθη τὰ βασιλικὰ κατοικητήρια παλ-
λάντιον ἐκ τοῦ Πάλλαντος. καὶ ᾔτησεν αὐτοὺς λαβεῖν παρ᾽ αὐ-
τῶν ὁ Αἰνείας βοήθειαν στρατοῦ· ᾧτινι παρέσχεν ὁ αὐτὸς Πάλ-
λας καὶ ὁ αὐτοῦ πατὴρ Εὔανδρος γενναίους πολεμιστὰς ἄνδρας υ΄.
καὶ πάλιν ἀπελθὼν ὁ αὐτὸς Αἰνείας πρὸς ἄλλους τοπάρχας ἔλα-
βε πολλὴν βοήθειαν στρατοῦ, ἐπειδὴ πᾶσα ἡ χώρα ἐκείνη ἐναν-
τιοῦτο τοῖς Ῥουστούλοις καὶ τῷ Τούρνῳ, βασιλεῖ αὐτῶν. καὶ
B συνέβαλεν αὐτοῖς ὁ Αἰνείας πόλεμον, καὶ ἐνικήθησαν τὸν πόλεμον
οἱ Ῥουστοῦλοι ὑπὸ τοῦ Αἰνείου, σφαγέντος τοῦ Τούρνου· καὶ
ἔλαβεν ὁ Αἰνείας μετὰ τὴν νίκην τὴν βασιλείαν καὶ τὴν θυγα-
τέρα τοῦ Λατίνου Ἀλβανίαν. καὶ κτίζει ἐκεῖ πόλιν ὁ αὐτὸς Αἰ-
νείας μεγάλην, ἥντινα ἐπωνόμασεν Ἀλβανίαν· καὶ ἀποτίθεται ὁ
Αἰνείας ὃ ἔλαβε Παλλάδιον ἀπὸ τοῦ Διομήδους ἐν τῇ αὐτῇ
πόλει Ἀλβανίᾳ. ἐβασίλευσε δὲ ὁ Αἰνείας μετὰ τὸν Λατῖνον
ἔτη ιθ΄.

O 214 Μετὰ δὲ τὸν Αἰνείαν ἐβασίλευσεν ἐκεῖ Ἀσκάνιος Ἰούλιος,
ὁ υἱὸς τοῦ Αἰνείου ἀπὸ τῆς Κρεούσης τῆς Τρῳάδος, τῆς
πρώτης γυναικὸς τοῦ αὐτοῦ Αἰνείου ἔτη κε΄. καὶ ἔκτισε τὴν

9. ὁ] Addidi καί. 21. Ἀσκάνιος Ἰούλιος] „Cedrenus habet Ἰοῦλος, rectius." Ch. 22. Τροάδος Ox. 23. κε΄] λε΄ Cedrenus p. 136. A.

Aeneas autem deinde profectus est ad Evandrum et filium ejus Pallantem, viros bellicosos; qui provinciam Italicam tenentes, in vico quodam Valentia dicto sedes habuerunt: ubi aedes plane magnificas et in ea regione omnium splendidissimas extruxerat sibi Pallas; quas etiam *Pallantium* vocavit. Unde et Regiae domus deinceps, a Pallante, *Pallantia* dicta sunt. Aeneas autem ab Evandro, et filio Pallante exercitu cccc virorum fortium et bellicosorum, instructus; impetratis etiam ab aliis Italiae regulis, (qui Turno omnes Rutulisque inimicissimi fuerunt) auxiliarium virorum copiis ingentibus; Rutulus iterum aggressus est: Turnoque, rege eorum, occiso, in eos victoria potitus est. Aeneas autem exinde Latini regnum filiamque Albaniam uxorem consecutus, urbem magnam condidit, quam Albaniam nominavit, ubi etiam Palladium, a Diomede receptum, reposuit. Regnavit autem Aeneas, post Latinum, annos xix.

Aeneam excepit Ascanius Julus, Aeneae filius, ex Creusa Trojana, uxore priore. Regnavit autem Ascanius per annos xxv, urbemque ipse

Λαβινίαν πόλιν, καὶ τὸ βασίλειον τοῖς Λαβινησίοις ἐπέθηκε,
μεταγαγὼν ὁ αὐτὸς Ἀσκάνιος ἐκ τῆς Ἀλβανίας πόλεως τὸ Παλ- C
λάδιον εἰς τὴν αὐτοῦ κτισθεῖσαν πόλιν Λαβινίαν.

Ἐν τῷ καιρῷ δὲ τῷ αὐτῷ ἀρχιερεύς τις ἦν τῆς Ἱερουσαλὴμ μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος τῶν δύο ἡμίσεος σκήπτρων τῶν ἀνελθόντων ἐν τῇ Ἱερουσαλὴμ Ἐλιακεὶμ ὁ υἱὸς Ἰησοῦ.

Ἐν δὲ τοῖς αὐτοῖς χρόνοις ἦν Ἱππάσιος, φιλόσοφος Πυθαγορικός· ὅστις τὴν σφαῖραν τοῦ οὐρανοῦ πρῶτος ἐξήνεγκεν ἐκ τῶν δεκαδύο ζωδίων, καὶ κατὰ θάλασσαν ναυαγήσας ἐτελεύτα. ἦν δὲ καὶ Ἰσοκράτης τότε καὶ Περικλῆς καὶ Θουκυδίδης ὁ συγγραψάμενος τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων. ἐν δὲ τοῖς χρόνοις Θουκυδίδου ἦν καὶ Φειδίας ὁ ἀγαλματοποιὸς καὶ
Στησίχορος καὶ Βακχυλίδης, οἳ ἦσαν ὀρχήσεως εὑρεταὶ καὶ ποιη- D
ταί, μετὰ τοὺς προειρημένους φιλοσόφους ἄνδρας· μετὰ δὲ χρό- O 215
νον οἱ προῤῥηθέντες τῶν Ἑλλήνων ἦσαν παιδευταί. ἀναφαίνεται δὲ μετὰ ταῦτα καὶ Δημοσθένης καὶ Ἀριστοφάνης ὁ κωμῳδός.

Μετὰ δὲ τὴν βασιλείαν Δαρείου τοῦ νεωτέρου ἐβασίλευσε Περσῶν Ἀρταξέρξης ὁ Μνήμων καλούμενος ἔτη λθ'.

Ἀλβανῶν δὲ ἐβασίλευσεν Ἄλβας ὁ υἱὸς τοῦ Ἀσκανίου ἔτη λς'. καὶ κτίζει τὴν Σίλπιν πόλιν· ἀπὸ τότε οἱ βασιλεῖς Σίλβιοι

1. 3. Λαβινίαν Cedrenus, Ἀλβανίαν Ox. Eadem Λαβηνισίοις. 4. αὐτοῦ] Scribe παρ' αὐτοῦ. ὑπ' αὐτοῦ Cedrenus. 7. Ἱππάσιος] Ἵππασος Ch.

condidit, nomine Laviniam, ubi et sedem regni posuit; Palladiumque, ab Albanis delatum, in urbe illa, a se condita, collocavit.

Eo tempore Pontifex maximus Hierosolymis fuit, post reditum a Babylone tribuum duarum cum dimidia, Eliachimus, Jesu filius.

Iisdem temporibus floruit Hippasius, philosophus Pythagoricus; qui Coelestem sphaeram primus composuit, ex duodecim signis: in mari autem deinde naufragus periit. Eodem tempore etiam claruerunt Isocrates, Pericles, et Thucydides, belli Attici et Peloponnesiaci scriptor. Aequales huic fuerunt Phidias statuarius, Stesichorus, et Bacchylides, Poetae et Saltatoriae artis inventores. Caeterum hi, praedictorum Philosophorum temporibus aliquanto posteriores, doctores deinde inter Graecos emerserunt. Posthaec floruerunt etiam Demosthenes et Aristophanes Comicus.

Dario autem juniori successit in regno Persarum Artaxerxes, qui et Mnemon vocatus est: et regnavit per annos XXXIX.

Albanis vero regnavit Albas, Ascanii filius, annos XXXVI, qui et urbem Silviam condidit: unde et reges eorum deinceps Silvii vocati sunt:

ἐκαλοῦντο· μεταγαγὼν ἐν τῇ αὐτῇ Σίλβει πόλει καὶ τὸ Παλλάδιον ὁ αὐτὸς Ἄλβας βασιλεύς. καὶ ἐβασίλευσαν λοιπὸν οἱ ἐκ τοῦ γένους τοῦ Αἰνείου, οἱ λεγόμενοι Αἰνειάδες, ἔτη τλα'.

3. *Αἰνείου* Ch., *Αἰανείου* Ox. *ibid.* *Αἰνειάδες*] *Αἰνειάδαι* Cedrenus.

Palladium vero et is quoque in Silviam transtulit. Regnarunt autem Aeneae posteri, qui et Aeneadae vocabantur, per annos CCCXXXI.

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ O 216 V 72

ΠΕΡΙ ΚΤΙΣΕΩΣ ΡΩΜΗΣ.

O 269 να, τὸν ἀδελφὸν τοῦ πρώτου Σκηπίονος· καὶ ἔπεμψαν αὐτὸν κα-
τὰ τῶν δύο, Ἀντιόχου τοῦ βασιλέως Ἀσίας καὶ Ἀννιβαὰλ τοῦ ῥη-
B γὸς τῆς Ἀφρικῆς. καὶ ἀπαντήσας αὐτοῖς συνέβαλε πόλεμον μέ-
γαν μετ' αὐτῶν· καὶ σφαγέντων πολλῶν, ἰδὼν ὁ Ἀννιβαὰλ τὴν
τοῦ Σκηπίονος δύναμιν καὶ ὅτι τὰς ἐπάνω φέρει, ἔφυγε· καὶ
ἑαυτῷ παραχρησάμενος πιπίσας ἀπέθανε. καὶ ἑωρακὼς ὁ Ἀντίο-
χος τὸν Ἀννιβαὰλ φυγόντα ἔδωκε νῶτα· καὶ κατεδίωξεν αὐτὸν ὁ
Σκηπίων ἕως τοῦ ὄρους τῆς Ἰσαυρίας τοῦ λεγομένου Ταύρου· καὶ
ἀνελθὼν ἐκεῖ ὁ Ἀντίοχος ἔπεμψε πρὸς αὐτὸν πρέσβεις, παρακαλῶν
αὐτόν, ὡς μηδεμίαν ἔχθραν ἔχων κατὰ Ῥωμαίων ἀλλ' ὑπὲρ ἄλ-
λου πολεμῶν. καὶ ἐδέξατο αὐτὸν ὁ Σκηπίων, καὶ ἐποίησεν αὐτὸν
ὑπὸ Ῥωμαίους κατὰ γνώμην τῆς συγκλήτου Ῥώμης πρὸς τὸ πα-
C ρέχειν αὐτὸν καθ' ἕκαστον ἔτος Ῥωμαίοις χρυσοῦ τάλαντα τέσσα-
O 270 ρα καὶ ἀργύρου καὶ ἄλλα τινὰ ἄχρι τῆς αὐτοῦ ζωῆς. καὶ ποιή-
σας ἄριστον ὁ Σκηπίων ἐκάλεσεν αὐτὸν καὶ παρέσχεν αὐτῷ τὸν

3. συνομοσίας Ox. 12. ἰδὼν Ch., ἴδεν Ox. 17. πρέσβεις Ox.

Antiochum, Nicomedis F. Asiae regem: a quo auxilium adversus Romanos petiit. Foedera autem amicitiae cum Romanis habuerunt Macedones, inde ab Alexandri temporibus; eo quod exercitu Romano instructus fuisset Alexander, bello Darium aggressurus. Antiochus vero rex Asiae, copiis suis confisus, adjungit se Hannibali: atque exercitu ex Bithynia educto, contra Romanos cum eo profectus est. Senatus autem Romanus, hoc audito, Consulem designavit Scipionem secundum, Scipionis prioris fratrem, virum strenuum: qui missus a Senatu contra duces illos, Antiochum Asiae, et Hannibalem Africae reges, obviam eis processit: praelioque utrinque acriter commisso, plurimi ceciderunt. Videns autem Hannibal, quantae essent Scipionis vires, et quod ubique superior evasisset, in fugam vertitur; et veneno hausto, mortem sibi consciscit. Antiochus autem ubi Hannibalem fugientem vidit, et ipse terga dedit: quem Scipio insecutus est Isauriam usque, ad montem Taurum. Quo cum venisset Antiochus, Scipionem per legatos exoratum habuit, uti in gratiam se reciperet: ut qui partes tantum alienas egisset; contra Romanos autem nihil hostile cogitasset. Accepit igitur eum Scipio, et ex Senatusconsulto Romanis tributarium fecit; ea scilicet conditione, ut quotannis, quamdiu viveret, auri talanta IV, argentique totidem, praeter alia quaedam, persolveret. Scipio autem convivium exhibens, Antiochum vocavit: cui et-

πρῶτον τόπον, τιμήσας αὐτόν, ὡς βασιλέα. καὶ μετὰ δόξης ἀνῆλθεν ὁ Σκηπίων ἐν τῇ Ῥώμῃ, καθὼς ὁ σοφώτατος Φλῶρος ὑπεμνημάτισεν ἐκ τῶν Λιβίου συγγραμμάτων.

Τῷ δὲ πεντεκαιδεκάτῳ ἔτει τοῦ προειρημένου Ἀντιόχου τοῦ Διονίκους, βασιλέως τῆς Συρίας, τοῦ λεπροῦ, Τιγράνης τις βασιλεὺς Ἀρμενίων ἐλθὼν ἐπολέμησε τῷ αὐτῷ Ἀντιόχῳ πόλεμον μέγαν. καὶ νικήσας τὸν αὐτὸν Ἀντίοχον ὁ Τιγράνης βασιλεὺς Ἀρμενίων παρέλαβε τὴν Ἀντιόχειαν τὴν μεγάλην καὶ τὴν βασιλείαν
αὐτοῦ, ἀφειλάμενος πάντα παρ' αὐτοῦ ἃ εἶχε, φυγόντος τοῦ αὐ- D
τοῦ Ἀντιόχου βασιλέως ἐπὶ τὰ Περσικὰ μέρη τὸν αὐτὸν Τιγράνην. κατελθόντος δὲ ἀπὸ τῆς Ῥώμης Πομπηίου τοῦ καὶ Μάγνου διὰ τὸν Καίσαρα, καὶ ἐλθόντος κατὰ Κιλίκων τυραννησάντων τὸν αὐτὸν Πομπήιον, καὶ νικήσαντος αὐτοῦ τοὺς Κίλικας, ἐπολέμησε καὶ τῷ Τιγράνῃ, βασιλεῖ τῶν Ἀρμενίων, καὶ νικήσας αὐτὸν παρέλαβε καὶ τὴν Ἀρμενίαν καὶ τὴν Κιλικίαν καὶ τὴν Συρίαν, λύσας καὶ τὰς τοπαρχίας αὐτάς. καὶ ἐξεδίκησε τοὺς Ἀντιοχεῖς, καὶ εἰσ-
ῆλθεν ἐν τῇ αὐτῇ Ἀντιοχέων πόλει, ποιήσας αὐτὴν ὑπὸ Ῥωμαίους, O 271
χαρισάμενος αὐτοῖς πολλὰ καὶ κτίσας τὸ βουλευτήριον· πεσόντα γὰρ ἦν· ἐτίμησε δὲ αὐτούς, ὡς ἐκ γένους Ἀθηναίους ὄντας.

Βύβλος δέ τις στρατηγὸς δυνατός, ὃς καὶ ἐν τῇ παραλίᾳ E
Φοινίκῃ ηὗρε κώμην καὶ ἐποίησε πόλιν τειχίσας αὐτήν, ἣν ἐκάλε-

9. φυγόντος Ch., φυγότος Ox., et v. 18. πεσότα. Eiusdemmodi forma redit p. 132. D. 19. Fort. Ἀθηναίων.

iam, tanquam Regi superiorem locum concessit. Sic honoribus auctus Scipio, Romam reversus est: uti haec sapientissimus Florus, ex Livii monumentis, memoriae prodidit.

Decimo quinto autem anno Antiochi Dionici, Leprosi, Syriae regis, (de quo superius diximus;) Tigranes quidam, Armeniae rex, Antiocho eidem grave bellum intulit: et bello superior factus Tigranes, Armeniae rex, Antiochiam magnam cepit, regnumque ejus, bona etiam quae habuit omnia ei ademit; Antiocho ipso in regiones Persicas fugiente. Pompeius autem Magnus, Roma propter Caesarem relicta, contra Cilices, Romani imperii hostes, cum exercitu veniens, profligatis illis, in Tigranem, Armeniorum regem, arma movit: quo devicto, Armeniam cepit; Ciliciam quoque, Syriamque, et dissolutis eorum regnis, Antiochenos vindicavit. Antiochiam vero ingressus, illam Romano subjecit imperio. Multa etiam eis indulsit; reparato etiam, quod collapsum fuerat, foro judicii publico. Magno autem honore eos prosecutus est, eo quod ortum suum ab Atheniensibus ducebant.

Byblus autem quidam, dux in bello strenuus, (qui in maritimum Phoeniciae vicum incidens, moenibus eum cinctum, urbem fecit, et a no-

σε Βύβλον εἰς ὄνομα αὐτοῦ, οὗτος γὰρ τὸ ἄγαλμα τῆς Ἀθήνης τὸ παρὰ Σελεύκου γενόμενον, φοβερὸν ὄντα, καὶ τὸ ἄγαλμα τοῦ Κεραυνίου Διός, παρὰ τοῦ αὐτοῦ Σελεύκου γενόμενον, καὶ αὐτὸ φοβερόν, αἰτησάμενος χάριν τοὺς Ἀντιοχεῖς ἐπῆρε καὶ ἐν Ῥώμῃ
V 90 ἔπεμψεν εἰς τὸ Καπετώλιον, ὡς μεγάλης ὄντα θέας καὶ ὡς ὑποταγέντα Ῥωμαίοις· ἅτινα ἀγάλματα ἕως τῆς νῦν εἰσί· καὶ ἐπιγράφει Δῆμος Ἀντιοχείας τῆς μεγάλης ἐτίμησε Ῥωμαίους ἀγάλματα εὐχαριστῶν.

Ἀντίοχος δὲ ὁ Διονίκους βασιλεὺς ἀκούσας τὴν τοῦ Τιγράνου, Ἀρμενίων βασιλέως, ἀπώλειαν καὶ τὴν τοῦ Πομπηίου Μά-
O 272 γνου κατ' αὐτοῦ νίκην, ἐλθὼν πρὸς τὸν Πομπήιον προσέπεσεν αὐτῷ, αἰτήσας αὐτὸν ἀναδοῦναι αὐτῷ τὴν βασιλείαν αὐτοῦ. ὅστις Πομπήιος παρακληθεὶς ἀνέδωκεν αὐτῷ πάλιν τὴν βασιλείαν τῆς Συρίας καὶ τὴν Κιλικίαν καὶ πάντα ὅσα κατεῖχε πρώην ὁ αὐτὸς Ἀντίοχος. καὶ τῇ ιθ' τοῦ δαισίου μηνὸς ἐξῆλθεν ἐπὶ
B τὴν Αἴγυπτον ἀπὸ Ἀντιοχείας ὁ Πομπήιος· καὶ ἐβασίλευσε πάλιν ὁ αὐτὸς Ἀντίοχος ὁ Μακεδὼν ὁ Διονίκους.

Ἐν τοῖς αὐτοῖς οὖν χρόνοις ἦν ὁ Κικέρων καὶ ὁ Σαλλούστιος, οἱ σοφώτατοι Ῥωμαίων ποιηταί.

Ὁ δὲ βασιλεὺς Ἀντίοχος ὁ Διονίκους μέλλων τελευτᾶν κατέλιπε πάντα τὰ ὑπ' αὐτὸν Ῥωμαίοις μετὰ τῶν ὑπαρχόντων αὐ-
O 273 τοῦ. μετὰ οὖν τὴν τελευτὴν Ἀντιόχου τοῦ βασιλέως γέγονεν ἡ Ἀντιόχεια ἡ μεγάλη ὑπὸ Ῥωμαίους καὶ πᾶσα ἡ χώρα τῆς Συρίας

1. οὗτος Ch., οὕτως Ox. 15. δαισίου] Δεσίου Ox. 21. αὐτοῦ Ch., αὐτῶν Ox.

mine suo Byblum appellavit:) hic inquam, statuas illas mirandas, quas olim Seleucus Jovi Ceraunio, et Minervae posuerat, ab Antiochenis impetratas, Romam transmisit, ibi in Capitolio collocandas: ut quae spectatu admirandae essent, Romanarumque Victoriarum Monumenta. Statuae autem istae usque adhuc Romae visuntur, hunc in modum a Byblo inscriptae. *Romanis gratificans, statuis hisce eos donavit populus Antiochenus.*

Antiochus vero Dionicus, ubi inaudisset Tigranem, Armeniorum regem, a Pompeio magno profligatum fuisse, Pompeium adit; et procidens ei ad pedes, rogavit, uti regnum sibi suum redderet. Annuit votis ejus Pompejus: et concesso ei iterum Syriae regno, Ciliciam etiam, atque omnia ei restituit. Mensis igitur Junii die XIX, discedente ab Antiochia in Aegyptum Pompeio, rursus regnavit Antiochus Dionicus Macedo.

Hisce temporibus floruerunt Cicero et Salustius, sapientissimi Romanorum Poetae.

Moriturus autem Antiochus Dionicus imperium facultatesque suas omnes Romanis legavit. Eo itaque demortuo, Romano imperio cessit Antiochia magna, omnisque Syria et Cilicia; insuper etiam quodcunque

καὶ Κιλικίας καὶ ὅσα κατεῖχον οἱ Μακεδόνες. ἐβασίλευσαν οὖν Ἀντιοχείας τῆς μεγάλης ἤτοι τῆς Συρίας καὶ Κιλικίας καὶ ἄλλων χωρῶν οἱ Μακεδόνες ἀπὸ Σελεύκου τοῦ Νικάτορος ἕως οὗ ἐδόθη Ῥωμαίοις ἡ βασιλεία ἔτη σξγ΄.

3. χώρων Ox.

Macedones possederunt. Macedones itaque Antiochiae magnae regnarunt, Syriam, Ciliciam, aliasque regiones sibi subjectas tenentes, a Seleuco Nicatore, usque ad hoc tempus, quo Romanis traditum est imperium, per annos CCLXIII.

O 274 # ΛΟΓΟΣ ΕΝΑΤΟΣ

ΧΡΟΝΩΝ ΥΠΑΤΩΝ ΡΩΜΗΣ

C Τὰ οὖν Ῥωμαίων πράγματα πρώην διῳκεῖτο ὑπὸ τῶν ὑπάτων
ἐπὶ ἔτη υξδʹ ἕως Καίσαρος Ἰουλίου τοῦ δικτάτορος· ὃς οὐκ
ἐγεννήθη ἀλλὰ τῆς αὐτοῦ μητρὸς τελευτησάσης τῷ ἐνάτῳ μηνὶ
ἀνέχειραν αὐτὴν καὶ ἐξέβαλον αὐτὸν βρέφος· διὸ Καῖσαρ ἐλέγε-
O 275 το· Καῖσαρ γὰρ λέγεται ῥωμαϊστὶ ἡ ἀνατομή: ἀνατραφεὶς δὲ καὶ
ἀνδρεῖος γενόμενος προεβλήθη τριομβυράτωρ μετὰ Πομπηίου
Μάγνου καὶ Κράσσου· ὑπὸ γὰρ τῶν τριῶν τούτων ἐδιῳκεῖτο τὰ
Ῥωμαίων. ὁ δὲ Καῖσαρ ὁ δικτάτωρ μετὰ τὸ φονευθῆναι τὸν
Κράσσον, παραληφθέντα ὑπὸ Περσῶν πολέμῳ ἐν τοῖς Περσικοῖς
μέρεσιν, ἔμεινε πολεμῶν μετὰ τοῦ πλήθους αὐτοῦ ἐν τοῖς μέρεσι
τῆς δύσεως. καὶ διαδεχθεὶς τῆς ὑπατείας, ἤτοι τῆς τριομβυρα-
D τορίας, κατὰ δοκιμασίαν τινὰ τῆς συγκλήτου Ῥώμης καὶ Πομ-

Inscr. ΕΝΝΑΤΟΣ Ox. Sic et v. 3. 4. αὐτὸν] τὸ Chron. Pasch. p. 186. C. 5. Addidi γάρ.

LIBER NONUS

DE TEMPORIBUS CONSULUM ROMANORUM.

Respublica Romana a Consulibus primum administrata fuit, per annos CCCCLXIV, usque ad Julium Caesarem Dictatorem. Hic natus non erat, sed, matre mense nono mortua, dissectaque, ex utero ejus exertus est: unde Caesar dictus, quod Romanis *Dissectio* sonat. Adultus tandem, virque strenuus factus, cum Pompeio Magno Crassoque, Triumvir creatus est. Post Crassum vero a Persis captum occisumque, Caesar Dictator, cum copiis suis, in regionibus Occidentalibus bellum prosecutus est: donec a Senatu, Pompeioque Magno, genero suo, Consulatu, sive Triumviratu exutus, aegre hoc ferens, in Romanos arma sumpsit. Ascitis ita-

πηίου Μάγνου τοῦ αὐτοῦ πενθεροῦ ὁ αὐτὸς Καῖσαρ Ἰούλιος, λυπηθεὶς ἐτυράννησε Ῥωμαίους· καὶ προτρεψάμενος τοὺς κατὰ Ῥωμαίων πολεμίους ἐπεστράτευσε κατὰ τῆς συγκλήτου Ῥώμης καὶ O 276 Πομπηίου Μάγνου. καὶ παραγενόμενος ἐν Ῥώμῃ παραλαμβάνει αὐτήν, ἀνελὼν πάντας τοὺς συγκλητικούς. ὁ δὲ Πομπήιος ἐξελ- V 91 θὼν κατ' αὐτοῦ καὶ ἑωρακὼς ἑαυτὸν μὴ δύνασθαι πολεμῆσαι αὐτῷ, καταλιπὼν τὰ δυτικὰ μέρη ἐπὶ τὴν ἀνατολὴν ἐξώρμησε, βουλόμενος διακρατῆσαι τὰ αὐτὰ μέρη. ὁ οὖν Ἰούλιος Καῖσαρ ὁ δικτάτωρ κατὰ αὐθεντίαν ἐγκρατὴς γενόμενος τῆς Ῥώμης καὶ πάντων τῶν δυτικῶν μερῶν, ἐπεστράτευσε κατὰ Πομπηίου Μάγνου· καὶ καταφθάσας αὐτὸν ἀνεῖλεν αὐτὸν εἰς τὴν Αἴγυπτον χώραν, καθὼς περὶ αὐτοῦ ὁ σοφώτατος Λουκανὸς συνεγράψατο. οὗτος οὖν ὁ Καῖσαρ πρῶτος καὶ μόνος ἐκράτησε τῶν Ῥωμαίων μετὰ πολλοῦ φόβου καὶ πάντα ἐξεδίκησεν. οἱ γὰρ Μακεδόνες οἱ μετὰ Σέλευκον τὸν Νικάτορα ἀδρανεῖς ὄντες περιεφρόνησαν τῆς Βαβυλωνίας χώρας, συγχωρήσαντες τοῖς Πέρσαις ποιεῖν ἑαυ- B τοῖς βασιλέα· ὁμοίως δὲ καὶ τοῖς Ἰουδαίοις παρεχώρησαν λαβεῖν ἀπὸ τῆς συγκλήτου Ῥώμης τετραρχίας βασιλείας.

Ἐν τοῖς αὐτοῖς οὖν χρόνοις Λίβιος ὁ σοφὸς Ῥωμαίων ὑπῆρχεν ἱστορικός, ὃς ἐξέθετο πολλὰ περὶ Ῥωμαίων. O 277

Ὁ δὲ Καῖσαρ Ἰούλιος ὁ δικτάτωρ, ὅ ἐστι μονάρχης, μετὰ ταῦτα τῶν πάντων ἐκράτησεν ἐν ὑπερηφανίᾳ καὶ τυραννίδι ἐπὶ ἔτη ιη'. ὅστις καὶ τὸ βίσεξτον ἐφηῦρε καὶ νόμους Ῥωμαίοις ἔδω-

3. κατὰ Chron., μετὰ Ox. 15. ἀδρανεῖς Ch., ἀνδρανεῖς Ox.
18. τετραρχίας] τετράρχας Ch.

que sibi Romanorum hostibus, Senatui, Pompeioque Magno bellum intulit: Romaque occupata, Senatores omnes e medio sustulit. Pompeius autem, cum Caesari propulsando imparem se sensisset, relicta Italia, Regiones Orientales occupare in animo habuit. Dictator itaque Julius Caesar, Romae ipsius, totiusque Occidentis imperio potitus; adversus Pompeium arma movit: ipsumque in Aegypto comprehensum, interfecit: uti de eo sapientissimus Lucanus scriptum reliquit. Caesar igitur iste solitarium in Romanos exercuit imperium, summoque omnium cum timore, supremam rerum potestatem sibi vindicavit. Macedones enim, qui Seleucum Nicatorem secuti sunt, viribus diminuti, Babylonicae regionis curam neglexerunt; regem sibi eligendi copia Persis inde concessa.

Judaeis similiter, a Senatu Romano Tetrarchas, Rempublicam administrantes, accipere permiserunt.

Temporibus hisce floruit Livius Historicus, qui res gestas Romanorum pluribus conscripsit.

Post haec Julius Caesar Dictator, sive Monarcha, per annos XVIII. imperium, summo cum fastu, tenuit. Bisexti hic Romanis auctor fuit:

κε, καὶ ὑπάτους δὲ αὐτὸς προεβάλλετο καθ' ἕκαστον ἔτος οὓς ἠβούλετο.

C Ἐν δὲ τῷ αὐτῷ καιρῷ Βεργίλλιος ὁ σοφὸς Ῥωμαίων ποιητὴς συνεγράψατο τὴν τοῦ Αἰνείου ἱστορίαν καὶ τῆς Διδῶ τῆς ἐκ Φοινίκης καταγομένης καὶ τὸν δούριον ἵππον καὶ τῆς Τροίης τὴν ἅλωσιν.

Καὶ εὐθέως ἐμηνύθη ἡ παρουσία Ἰουλίου Καίσαρος δικτάτορος, ὅ ἐστι μονάρχου, τοῦ τυραννήσαντος καὶ παραλαβόντος τὴν Ῥώμην καὶ φονεύσαντος τὴν σύγκλητον καὶ γενομένου μονάρχου. καὶ κατέφθασε τὸ πρόθεμα ἐν Ἀντιοχείᾳ τῇ πόλει τῇ ιβ' τοῦ ἀρτεμισίου τοῦ καὶ μαΐου μηνὸς τῆς μετὰ ταῦτα ἐπινεμήσεως. O 278 καὶ προετέθη ἐν Ἀντιοχείᾳ ἡ ἐλευθερία αὐτῆς, ὅτι ἐγένετο ὑπὸ Ῥωμαίους, τῇ εἰκάδι τοῦ ἀρτεμισίου μηνὸς πεμφθεῖσα παρὰ τοῦ αὐτοῦ Καίσαρος Ἰουλίου. τὸ οὖν ἤδικτον προετέθη D περιέχον οὕτως. Ἐν Ἀντιοχείᾳ τῇ μητροπόλει ἱερᾷ καὶ ἀσύλῳ καὶ αὐτονόμῳ καὶ ἀρχούσῃ καὶ προκαθημένῃ τῆς ἀνατολῆς Ἰούλιος Γάϊος Καῖσαρ καὶ τὰ λοιπά. καὶ εἰσῆλθεν ὁ αὐτὸς Ἰούλιος Καῖσαρ ὁ δικτάτωρ ἐν Ἀντιοχείᾳ τῇ κγ' τοῦ ἀρτεμισίου μηνός· καὶ ἔκτισε βασιλικήν, ἣν ἐκάλεσε τὸ Καισάριον, κατέναντι τοῦ ἱεροῦ τοῦ Ἄρεως τοῦ μετακληθέντος Μακέλλου, στήσας ἐκεῖ στήλην χαλκῆν τῇ τύχῃ Ῥώμης. ἔκτισε δὲ ὡσαύτως καὶ ἄνω εἰς τὴν καλουμένην ἀκρόπολιν εἰς τὸ ὄρος τῆς αὐτῆς Ἀντιοχείας τῆς μεγάλης δημόσιον λουτρὸν τοῖς αὐτοῖς ἀκροπολίταις, ἐνεγκὼν τὸ

1. προεβάλετο Ox. 7. ἐμηνεύθη Ox.

quibus etiam et Leges dedit, Mensiumque appellationes novas: Consules etiam ipse, pro libitu suo, quotannis designavit.

Hoc tempore Virgilius, sapiens Romanorum Poeta, Aeneae, et Didonis Phoeniciae historiam, Equum item Ligneum, captamque Trojam, cecinit.

Romae itaque a Julio Caesare Dictatore captae, Senatorumque e medio sublatorum, imperiique sibi arrepti fama statim percrebuit: mensis autem Artemisii, sive Maii XII, Indictione, quae deinceps prima vocabatur, Antiochiae facta est ejusdem Promulgatio. Die autem XX ejusdem Mensis, Antiochiam urbem, quum Romanis subjecta esset, Julius Caesar, misso Edicto suo, liberam esse jussit. Verba autem Edicti sic se habent. *In Antiochia Metropoli, sacrosancta, inviolabili, libera, principe, Orientisque Praeside, Julius Caius Caesar, etc.* Maii autem XXIII idem Julius Caesar Dictator Antiochiam venit: ubi Basilicam extruxit, quam a nomine suo Caesarium, vocavit; e regione templi Martis, Macelli postea vocati, positam: aereamque ibi statuam erexit, Fortunae urbis Romae. Condidit etiam ad Acropolim, quam vocant, in eminentiore Antiochiae magnae parte sitam, Balneum publicum, in ejusdem incolarum usum;

ὕδωρ ἀπὸ τῶν λεγομένων ὑδάτων τῆς Λαοδικηνῆς ὁδοῦ διὰ O 279
τοῦ παρ' αὐτοῦ κτισθέντος ἀγωγοῦ. ἔκτισε δὲ ἐκεῖ ἄνω καὶ μο-
νομάχιον καὶ θέατρον· ἀνενέωσε δὲ καὶ τὸ Πάνθεον, μέλλοντα E
συμπίπτειν, ἀνεγείρας τὸν βωμόν.

Καὶ ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ ἀπελθὼν ἔκτισεν ἐκεῖ ὁ αὐτὸς
Καῖσαρ εἰς ὄνομα τοῦ ἰδίου αὐτοῦ υἱοῦ οὗ ἔσχεν ἀπὸ Κλεοπά-
τρας, ἧς ἐφίλησεν ὡς εὐπρεπῆ οὖσαν· ἥντινα ηὗρεν εἰς τὴν Θη-
βαΐδα διωχθεῖσαν ὑπὸ τοῦ ἰδίου αὐτῆς ἀδελφοῦ Πτολεμαίου λυ-
πηθέντος πρὸς αὐτήν. ταύτην ὁ Καῖσαρ φθείρας ἔγκυον ἐποίησε·
καὶ ἐγέννησεν υἱόν, ὃν ἐπεκάλεσε Καισάριον. εἰς ὄνομα οὖν τοῦ V 92
ἰδίου υἱοῦ καὶ τὸ Καισάριον ἔκτισεν ὁ αὐτὸς Ἰούλιος ὁ Καῖσαρ ἐν
Ἀλεξανδρείᾳ τῇ μεγάλῃ. καὶ ἐκβαλὼν τὸν ἀδελφὸν αὐτῆς Πτο-
λεμαῖον ἐκ τῆς βασιλείας τῶν Αἰγυπτίων ἔδωκεν αὐτῇ τὴν βα-
σιλείαν Αἰγυπτίων, φονεύσας καὶ τοὺς δύο εὐνούχους τοὺς εἰσά-
ξαντας τὸν Πτολεμαῖον εἰς Θηβαΐδα ἐξορίσαι τὴν Κλεοπάτραν.
ὁ δὲ υἱὸς τῆς Κλεοπάτρας καὶ τοῦ αὐτοῦ Καίσαρος ἐτελεύτα
μικρός.

Ἐν δὲ τῇ Ῥώμῃ ἐλθὼν ὁ αὐτὸς Καῖσαρ ἐσφάγη ὑπὸ τοῦ δευ-
τέρου Βρούτου καὶ ἄλλων μετ' αὐτοῦ συμποιησαμένων συγκλητι-
κῶν ἐπὶ τῆς ὑπατείας Χρυσαυρίκου καὶ Ἀντωνίου τὸ δεύτερον. O 280
χρηματίζει οὖν ἡ μεγάλη Ἀντιόχεια κατὰ τιμὴν ἔτος πρῶτον ἀπὸ
τοῦ αὐτοῦ Καίσαρος Γαΐου Ἰουλίου.

2. μονομάχιον Ch., μονάχιον Ox. Conf. ad p. 105. B. 7. ἧς] ἣν? 11. ὁ Καῖσαρ] Immo Καῖσαρ. 20. ἐπὶ τῆς ὑπατείας Χρυσαυρίκου καὶ Ἀντωνίου] „Antonium quidem et Isauricum ponit Coss. Chr. Alex. auctor; sed ad Jul. Caes. an. II.“ Ch.

aqua, a fontibus Viae Laodicenae dictis, per aquaeductum a se extructum, illuc perducta. Condidit etiam ibidem Gladiatorium et Theatrum; Pantheum item, ruinae proximum, instauravit; ara etiam excitata.

Inde Alexandriam magnam profectus, Caesarium etiam, a nomine sui ex Cleopatra filii, ibidem extruxit. Cum enim Thebaidi in Cleopatram, a fratre suo Ptolomaeo ira in eam accenso, expulsam, forte incidisset; amore ejus (forma enim erat venusta) correptus, compressit ipsam, filiumque ex ea habuit, quem Caesarium appellavit. Ptolomaeo deinde Cleopatrae fratre, regno Aegyptiorum pulso; Eunuchis etiam illis duobus, qui Ptolomaeo Cleopatrae Thebaidem relegandae auctores fuerant, interfectis; ei Aegyptiorum regnum concessit. Filius vero Caesaris et Cleopatrae parvulus interiit.

Caeterum Romam reversus Caesar, a Bruto secundo, aliisque conjuratis ex Senatoribus, occisus est: Chrysaurico et Antonio iterum Coss. Incipit igitur Aera Antiochena, in illustrem urbis ejus memoriam, a C. Julii Caesaris anno I.

B *Μετὰ δὲ τὸν Καίσαρα Γάϊον Ἰούλιον ἐπελέξατο ἡ σύγκλητος Ῥώμης τὸν Αὔγουστον Ὀκταβιανὸν τὸν συγγενῆ τοῦ Καίσαρος καὶ τὸν Ἀντώνιον τὸν τοῦ Αὐγούστου γαμβρὸν ἐπ᾿ ἀδελφῇ καὶ τὸν Λέπιδον, καὶ ἐγένοντο οἱ τρεῖς τριομβυράτορες, καὶ αὐτοὶ διῴκουν τὰ Ῥωμαίων πράγματα προβαλλόμενοι κατ᾿ ἔτος ὑπάτους.*

Τῷ δὲ πεντεκαιδεκάτῳ ἔτει τῆς τριομβυρίας τοῦ αὐτοῦ Αὐγούστου Ὀκταβιανοῦ, τυραννησάντων τῶν Αἰγυπτίων καὶ τῆς Κλεοπάτρας τῆς κτισάσης ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ τὴν Φάρον εἰς
O 281 *τὴν νῆσον τὴν λεγομένην Πρωτέως καὶ οὖσαν κατέναντι Ἀλεξανδρείας ἀπὸ μιλίων δύο καὶ προσχωσάσης γῆν καὶ λίθους εἰς τὴν*
C *θάλασσαν ἐπὶ τοσοῦτο διάστημα εἰς τὸ βαδίζεσθαι τὴν θάλασσαν ἕως τῆς νήσου αὐτῆς καὶ τῆς Φάρου ὑπὸ ἀνθρώπων καὶ ἀλόγων· ὅπερ φοβερὸν ἐποίησεν ἔργον ἡ αὐτὴ Κλεοπάτρα διὰ Δεξιφάνους Κνιδίου μηχανικοῦ, ὃς τὴν θάλασσαν ἐποίησε χθόνα. τῆς δὲ τυραννίδος τῶν Αἰγυπτίων καὶ τῆς Κλεοπάτρας βασιλίσσης αὐτῶν γνωσθείσης Ῥωμαίοις, ἐξῆλθεν ἀπὸ Ῥώμης Ἀντώνιος ὁπλισάμενος κατὰ τῆς Κλεοπάτρας καὶ τῶν Αἰγυπτίων καὶ ἐπὶ τὰ Περσικὰ μέρη, ὅτι ἐτάρασσον τὴν ἀνατολήν. καὶ κατῆλθεν ἐπὶ τὴν Αἴγυπτον μετὰ πολλῆς δυνάμεως στρατευμάτων ὁ Ἀντώνιος· καὶ φθάσας Ἀλεξάνδρειαν τὴν μεγάλην περιεκάθητο πολιορκῶν*

4. *Λεπίδιον* Ox., illud Chron. Pasch. p. 189. D. 9. *τῇ μεγάλῃ* Ch., Chron. p. 191. D, *τὴν μεγάλην* Ox. Eadem *φαρόν*. 10. *λεγομένην Καίουσαν* Ox., *λεγομένην Πρωτέως καὶ οὖσαν* restitui ex Chron. 11. *δύο*] *δ´* Chron., *τέσσαρα μίλια* Cedrenus p. 173. B. 15. *ὃς* Chron., *ὡς* Ox. 19. *ἐτάρασσον* Ch., *ἐτάρασον* Ox.

C. Julio Caesare defuncto, Senatus Romanus Augustum Octavianum, Caesaris cognatum, et Antonium, Sororis Augusti maritum, et Lepidum delegit; qui Triumviri creati, Remp. Romanam administrarunt, Consulesque quotannis designarunt.

Anno autem Augusti Octaviani Triumviratus decimo quinto, Aegyptii rebellare coeperunt. Cleopatra etiam, Alexandriae Pharo magna, in insula quam vocant *Ardente*, duobus milliaribus ab Alexandria distante, constructa, intercapedinem totam, opere Dexiphanis Cnidii Mechanici, terra, lapidibusque ingestis, siccavit; fecitque, ut per mare ipsum (stupendum plane opus!) ceu per continentem, hominibus jumentisque, ad insulam usque liber pateret aditus. Caeterum cum Cleopatram Aegyptiosque rebellionem moliri, Romani accepissent: Antonius, exercitu instructus, contra Cleopatram et Aegyptios, orasque Persicas, eo quod Orientem perturbabant, missus est. Is itaque maximis cum copiis in Aegyptum descendit; Alexandriaque obsidione cincta, urbis deditionem a

αὐτήν, δηλώσας τῇ Κλεοπάτρᾳ δοῦναι τὴν πόλιν· ᾔδει γὰρ αὐτὴν O 282
πρώην μετὰ τοῦ Καίσαρος Ἰουλίου ἐπὶ τὴν Αἴγυπτον ἐλθών. ἡ D
δὲ Κλεοπάτρα ἀντεδήλωσεν αὐτῷ, ὑπονοθεύσασα αὐτόν, ὡς ἐρῶ-
σα αὐτοῦ. ὁ οὖν Ἀντώνιος ἠπατήθη καὶ ἔρωτι βληθεὶς ἐφίλησεν
αὐτὴν καὶ ὑπετάγη αὐτῇ. ἦν δὲ κονδοειδὴς ἡ Κλεοπάτρα, εὐπρε-
πὴς δὲ πάνυ καὶ μυστική. καὶ δεξαμένη τὸν Ἀντώνιον ἐν τῇ πό-
λει καὶ τὰ πλήθη αὐτοῦ ἐγαμήθη αὐτῷ. καὶ λοιπὸν ὁ αὐτὸς
Ἀντώνιος λαβὼν αὐτὴν γυναῖκα ἐτυράννησεν ἅμα αὐτῇ Ῥωμαίους.
καὶ καταφρονήσας καὶ ἀποταξάμενος τῇ αὐτοῦ γυναικί, τῇ ἀδελ-
φῇ τοῦ Αὐγούστου Ὀκταβιανοῦ, καὶ συναγαγὼν ἄλλο πλῆθος πο-
λύ, προτρεψάμενος δὲ καὶ Πέρσας καὶ πολλὰ αὐτοῖς συνταξάμε-
νος, ποιήσας πλοῖα δρομώνων πολλῶν, καταπλεύσας ἀπὸ Ἀλε-
ξανδρείας ὥρμησε κατὰ Ῥωμαίων μετὰ τῆς Κλεοπάτρας, παρα- E
λαβεῖν τὴν αὐτὴν Ῥώμην βουλόμενος, διὰ τῆς λεγομένης Ἠπείρου
χώρας, θέλων ἀνελθεῖν ἐν Ῥώμῃ.

Καὶ γνωσθείσης τῆς τοιαύτης τυραννίδος Ἀντωνίου καὶ τῆς O 283
Κλεοπάτρας ἐν τῇ Ῥώμῃ, εὐθέως ὁ αὐτὸς Ὀκταβιανὸς ὡπλίσατο
κατ᾽ αὐτῶν καὶ διὰ τὴν εὐτέλειαν τῆς αὐτοῦ ἀδελφῆς, ὅτι περιε-
φρόνησεν αὐτὴν ὁ αὐτὸς Ἀντώνιος. καὶ ἔλαβεν ὁ αὐτὸς Αὔγου-
στος στρατηγὸν δυνατόν, ἐκ τῆς συγκλήτου ἐπιλεξάμενος, Μάρ- V 93
κον Ἀγρίππαν ὀνόματι, καὶ ἔζευξεν αὐτῷ τὴν ἑαυτοῦ ἀδελφὴν
Ὀκταβίαν. καὶ ὥρμησεν ἀπὸ τῆς Ῥώμης ἅμα τῷ αὐτῷ Ἀγρίπ-
πᾳ στρατηγῷ καὶ στρατιωτικῶν δυνάμεων αὐτοῦ. καὶ φθάσας
τὴν Ἤπειρον χώραν εἰς τόπον λεγόμενον Λευκάτην συνέκρουσε

1. ᾔδει Ch., ἤδη Ox. 3. ὑπονοθεύσασα] ὑπονοθούσασα Ox. 7. ἐγαμήθη Ch., ἠγαμήθην Ox. 12. δρομόνων Ox. 17. ὁπλίσατο Ox.

Cleopatra postulabat. Illa vero Antonio antea, cum Caesarem in Aegyptum comitatus est, satis nota, literis adulatoriis eum sollicitavit; suique amore tandem captum, sibique subditum habuit. Erat autem Cleopatra statura curta, forma vero praecellente, ingenioque subtili. Antonium itaque, exercitumque ejus in urbem recipiens, ipsum sibi accepit conjugem; novique deinceps eam fecit Antonius imperii consortem; uxore priore, Augusti sorore, spreta repudiataque. Antonius deinde, coactis undique copiis quas potuit maximis, Persis quoque in belli societatem, liberis suis pollicitationibus adductis; confectis plurimis navibus, classem sibi adornat. Alexandria vero, una cum Cleopatra, solvens, in Romanas ditiones impetum fecit: urbisque ipsius potiundae spe fretus, per Epirum regionem cursum suum ducere instituit.

Augustus autem cognito Antonii et Cleopatrae consilio; et urbis conservandae, sororisque, ab Antonio spretae, vindicandae causa, et ipse arma sumit. Delecto itaque sibi Duce ex Senatoribus M. Agrippa, viro strenuo, sororeque Octavia ei in uxorem data, Roma relicta, cum exercitu contra Antonium movit. Cumque Leucatem, Epiri promontorium,

τῷ Ἀντωνίῳ καὶ τῇ Κλεοπάτρᾳ πόλεμον ναυμαχίας μέγαν, καθὼς
Βεργίλλιος ὁ σοφὸς ἐν τῇ αὐτοῦ ἀσπιδοποιίᾳ συνεγράψατο εἰς τὸν
ὄγδοον αὐτοῦ λόγον. τὸ δὲ πλῆθος τῶν ἀμφοτέρων στρατευμά-
των ἐσκέπασε τὴν γῆν καὶ τὴν θάλασσαν. καὶ ἐσφάγη τοῦ Ἀν-
τωνίου καὶ τῆς Κλεοπάτρας πλῆθος ἐν τῇ ναυμαχίᾳ, ὥστε τὰ ὕδα-
τα τῆς θαλάσσης αἵμασι μιγέντα κυμάτων καὶ μόνον φαίνεσθαι.
B καὶ νικήσας ὁ Αὔγουστος Ὀκταβιανὸς ἐφόνευσε τὸν Ἀντώνιον,
τὴν δὲ Κλεοπάτραν παραλαβὼν καὶ δήσας ἐθριάμβευσε, κελεύ-
O 284 σας αὐτὴν φυλαχθῆναι εἰς τὸ ἀνενεγκεῖν ἐν τῇ Ῥώμῃ αἰχμάλωτον
καὶ πομπεῦσαι. ἥτις Κλεοπάτρα ἀπεχρήσατο ἑαυτῇ, ἀπὸ ἀσπί-
δος κρουσθεῖσα ἐτελεύτα· ἐβάσταζε γὰρ ἀσπίδας καὶ ἄλλα ἑρπε-
τὰ εἰς τὰ πλοῖα διὰ τὸν πόλεμον· ὡς φυλάττεται οὖν ὑπὸ στρα-
τιωτῶν, κρύφα δηχθεῖσα ὑπὸ ἀσπίδος τελευτᾷ διὰ τὸ μὴ ζῶσαν
αὐτὴν ἀνενεχθῆναι ἐν τῇ Ῥώμῃ. μετὰ δὲ τὴν τελευτὴν αὐτῆς
ἀπηνέχθη τὸ λείψανον αὐτῆς ἐν τῇ Ῥώμῃ σμυρνιασθέντα πρὸς
θεραπείαν τῆς ἀδελφῆς τοῦ αὐτοῦ Αὐγούστου Ὀκταβιανοῦ, κα-
θὰ Θεόφιλος ὁ σοφὸς χρονογράφος συνεγράψατο. οἱ δὲ ἐκθέμε-
C νοι τὰ πάτρια Ἀλεξανδρείας τῆς μεγάλης τὴν Κλεοπάτραν ἐν Αἰ-
γύπτῳ εἶπαν λειφθεῖσαν, καὶ ἄλλα δέ τινα μὴ συμφωνοῦντα τοῖς
Ῥωμαίων συγγραφεῦσι.

Μετὰ δὲ τὴν τοιαύτην νίκην ὁ αὐτὸς Αὔγουστος Ὀκταβιανὸς
O 285 ἅμα Ἀγρίππᾳ τῷ στρατηγῷ καὶ γαμβρῷ αὐτοῦ ἀπὸ τῆς κώμης

6. μιγέντα Ch., μηγέντα Ox. 10. ἀπὸ ἀσπίδος κρουσθεῖσα] „Locus mutilus: γὰρ aut quid tale supplendum videtur." Ch. 17. ἐκθέμενοι] εἰσθέμενοι Ox. 19. λειφθεῖσαν Ch., ληφθεῖσαν Ox.

appulisset; cum Antonio et Cleopatra navali praelio congressus est: sicuti Virgilius sapiens, in Clypei descriptione, (Aeneidos) libro octavo tradidit. Ea vero erat utriusque exercitus militum multitudo, ut terra, mareque eisdem operirentur. Ex Antonii autem et Cleopatrae partibus tanta fuit strages, ut caesorum sanguine ipsum mare cruentatum penitus videretur. Augustus vero victoria potitus, Antonium interfecit: Cleopatram autem captivam habens, et in vincula conjiciens; in Triumphum suum, Romae celebrandum, asservari jussit. Caeterum illa, dum Militum esset sub custodia, cavens sibi ne viva Romam deportaretur; aspidi (horum enim, aliorumque id genus serpentum copiam, in bellum profectura sibi comparaverat) occulte sese mordendam praebens, spontaneam sibi conscivit mortem. Attamen corpus ejus mortuum, unguentis conditum, laesae Octaviae placandae causa, Romam delatum est: uti Theophilus sapiens Chronographus literis mandavit. Verum Alexandrinarum rerum scriptores Cleopatram in Aegypto relictam fuisse, nonnulla item alia, a Romanis Historicis absona, tradiderunt.

Post partam hanc victoriam, Augustus Octavianus, una cum Duce

Ἠπείρου ἐξορμήσας καὶ ἦλθεν ὑποτάξας τὴν Αἰγύπτιον χώραν καὶ θριαμβεύσας τὴν ἑαυτοῦ νίκην.

Καὶ κατιὼν μετὰ τοῦ πλήθους αὐτοῦ ὑπέταξε τὰς ἄλλας χώρας, καταλύων τὰς τοπαρχίας αὐτῶν. ἦν δὲ ἐνιαυτῶν ιη', ὅτε τριομβυράτωρ ἐγένετο. ἐκράτησε δὲ ὁ τῆς Αἰγύπτου πόλεμος ἔτη πολλά.

Ὁ δὲ Αὔγουστος Ὀκταβιανὸς παρελθὼν τὴν Εὐρώπην πᾶ- D
σαν ἐπέρασεν ἀπὸ τοῦ Βυζαντίου ἐπὶ τὴν Χαλκηδόνα πόλιν τῆς Ἀσίας. καὶ ἐποίησεν εὐθέως ἄρχοντα ὃν ἠβουλήθη ἐν τῇ Βιθυνίᾳ ἐκ τῶν ἰδίων αὐτοῦ ἀνθρώπων ὀνόματι Λαῦσον, διαδεξάμενος τὸν ἰθύνοντα τὴν αὐτὴν χώραν Δηίναρον τὸν προβληθέντα ὑπὸ τοῦ Καίσαρος τοῦ θείου αὐτοῦ· ἦν γὰρ ἤδη ἡ Βιθυνία ἔχουσα ἄρχοντα· ἐπειδὴ πρὸ αὐτοῦ ὁ Πομπήιος Μάγνος ἦν λαβὼν τὴν αὐτὴν Βιθυνίαν, τελευτήσαντος Νικομήδους τοπαρχοῦντος αὐτήν, τοῦ ὄντος ἐκ τοῦ γένους τῶν Μακεδόνων· ὅστις τελευτῶν εἴασεν αὐτὴν Ῥωμαίοις.

Τὴν δὲ Γαλατίαν ὑπέταξεν ὁ αὐτὸς Αὔγουστος ὁ καὶ Ὀκτα- O 286
βιανός, νικήσας Δηιόταρον, τετράρχην αὐτῆς· καὶ τειχίσας κώ- E
μην τὴν λεγομένην Ἀρσίνην ἐποίησε πόλιν, ἥντινα ἐκάλεσεν Ἄγκυραν διὰ τὸ μέσην αὐτὴν εἶναι δύο θαλασσῶν, τῆς τε Ποντικῆς καὶ τῆς Ἀσιανῆς θαλάσσης. θυσιάσας δὲ κόρην παρθένον ὀνόματι Γρηγορίαν εἰς ἀποκαθαρισμόν, ποιήσας αὐτὴν ἐπαρχίαν, ἐάσας ἐκεῖ Γάλλους στρατιώτας διὰ τὸ φυλάττειν τὴν χώραν καὶ

1. Dele καί. 4. τοπαρχίας Ch., τοπαρχΐηας Ox.

Agrippa, suo genero, Epiro solvens, Aegyptum perrexit: quam cum in potestatem suam redegisset, victoriam Triumpho celebravit.

Inde vero cum exercitu movens, aliis itidem regionibus subactis, principatus earum abrogavit. Annum autem agens decimum octavum, Triumvir designatus est; bellum vero Aegyptiacum per multos duravit annos.

Augustus Octavianus inde, Europam totam praetervectus, Byzantium venit: atque inde in Asiam trajiciens, Chalcedonem appulit: ubi Dienaro, quem Caesar avunculus Bithyniae praefecerat, summoto; ipse statim, e Ducibus suis, Lausum quendam successorem constituit. Bithynia enim jampridem Romanae erat ditionis; ex quo Nicomedes rex, ex Macedonum stirpe oriundus, ipsam moriturus Romanis legavit: quo demortuo, Pompeio magno cessit ea Provincia.

Porro Augustus Octavianus, Galatiam quoque, devicto Deiotaro ejus regulo, in potestatem suam redegit: Vicumque Arsinem dictum moenibus cingens, urbem fecit: quam quod duobus maribus, Pontico atque Asiano, interjaceret, Ancyram nominavit: puellaque Virgine, nomine Gregoria, in loci lustrationem immolata, et regione in Provinciae formam redacta, Milites ibi Gallos, regionis urbisque in praesidium, collocat; et a nomine

τὴν πόλιν, καλέσας εἰς ὄνομα αὐτῶν καὶ τὴν ἐπαρχίαν καὶ τὸν
V 94 ποταμὸν Γάλλον. ὁμοίως δὲ καὶ τὴν Λυδίαν καὶ Παμφυλίαν τὰς ἐπαρχίας ἀπὸ τοῦ αὐτοῦ Δηιοτάρου ἐπαρχουμένας παρέλαβε καὶ ἐποίησεν ὑπὸ Ῥωμαίους, πέμψας Κουρίωνα ὀνόματι στρατηγὸν αὐτοῦ μετὰ βοηθείας πολλῆς. Φρυγίαν δὲ Πακατιανὴν
O 287 ὑπὸ τὴν τετραρχίαν τοῦ αὐτοῦ οὖσαν ὑπὸ Ῥωμαίους ἐποίησε, πέμψας μετὰ βοηθείας Πακατιανὸν στρατηγὸν αὐτοῦ. καὶ τὴν Λυκαονίαν δὲ παρέλαβε τοπαρχουμένην ὑπὸ Λυκάονος, υἱοῦ τοῦ Κάπνος, ὅστις προσέπεσε τῷ αὐτῷ Αὐγούστῳ. καὶ προτρεψάμενος αὐτὸν ὁ Αὔγουστος, ὡς γενναῖον, ἔλαβεν αὐτὸν ἐπὶ τὴν Αἴγυπτον. Συρία δὲ καὶ Κιλικία πρῴην ἐπὶ τοῦ Καίσαρος Ἰουλίου ἐγένετο ὑπὸ Ῥωμαίους.

B Καταλαβὼν δὲ ὁ Αὔγουστος τὴν Συρίαν εἰσῆλθεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, θριαμβεῦσαι τὴν κατὰ Ἀντωνίου νίκην καὶ Κλεοπάτρας μετὰ τοῦ ἰδίου αὐτοῦ γαμβροῦ Ἀγρίππα. ὅστις Ἀγρίππας τερφθεὶς τῆς τοποθεσίας τῆς πόλεως Ἀντιοχείας, κτίζει ἐκεῖ δημόσιον λουτρὸν ἔξω τῆς πόλεως παρὰ τὸ ὄρος, εὑρὼν ἐκεῖ πηγήν, ὅπερ ἐκάλεσεν εἰς ὄνομα ἴδιον τὸ Ἀγριππιανόν, τὸ νυνὶ λεγόμενον Ἀμπελινὸν λουτρόν. κτίζει δὲ καὶ δίαιταν οἰκημά-
O 288 των καὶ βανιάριν, καλέσας τὴν γειτνίαν Ἀγριππιτῶν. προσέθηκε δὲ κτίσας ἐν τῷ θεάτρῳ Ἀντιοχείας ἄλλην ζώνην ἐπάνω τῆς πρώτης διὰ τὸν πολὺν δῆμον ὁ Ἀγρίππας.

C Ἐκεῖθεν δὲ ἐξελθὼν ὁ Αὔγουστος κατέλαβε τὴν Λαοδικείαν

8. Δηιοτάρου Ch., Διηνιοτάρου Ox. 20. βανιάριν] Immo βαλνιάριν. 21. ζώνην Ch., ζωὴν Ox. Conf. p. 99. C.

illorum; Provinciam ipsam, (Galatiam,) fluviumque Gallum appellavit. Lydiam item, Pamphyliamque, Deiotaro subjectas, Curione duce, cum exercitu magno in eas misso, in Romanorum redegit potestatem. Quin et Phrygiam Pacatianam. eidem subditam, Pacatiani ducis illuc cum exercitu missi ope, Romano adjecit imperio. Lycaoniam etiam, regemque ejus Lycaonem, Capnis filium, in deditione accepit: Quem cum virum strenuum esse percepisset Augustus, eum sibi comitem adjunxit. Syria vero et Cilicia jam olim, Julii Caesaris sub imperio, Romanae fuerant ditionis.

Syriam vero profectus Augustus, Antiochiam adit; de victoria sua adversus Antonium et Cleopatram, cum genere suo Agrippa, ibidem triumphaturus. Agrippa vero urbis Antiochiae situ captus, extra urbem, ad montem, fonte ibi reperto, Balneum Publicum extruxit: quod, a nomine suo, *Agrippianum*, ipse nuncupavit: hodie vero, *Ampelinum* Balneum vocatur. Condidit etiam aedificiorum seriem et Balneum; vicum Agrippinum vocans. Sed et ob populi Antiocheni frequentiam, Theatri priori circo secundum superaddidit.

Inde vero discedens Augustus, Laodiceam, Syriae urbem, contendit:

πόλιν τῆς Συρίας· καὶ ἔκτισεν ἐν αὐτῇ τῇ πόλει θέατρον μέγα πάνυ, στήσας ἑαυτῷ ἐκεῖ στήλην μαρμαρίνην. ἔκτισε δὲ ἐν αὐτῇ τῇ πόλει καὶ τὸ μέγα τετράπυλον, ὄντα μικρόν· καὶ κοσμήσας αὐτὸ κίοσι καὶ μαρμάροις ἀνοικοδομήσας καὶ μουσώσας ἐθριάμβευσεν ἐν αὐτῷ τὴν ἑαυτοῦ νίκην, στήσας ἐν τῷ αὐτῷ τετραπύλῳ στήλην χαλκῆν μετὰ τεσσάρων ἵππων.

Καὶ τὴν Φοινίκην δὲ ὑπέταξε· καὶ πέμψας στρατηγοὺς μετὰ βοηθείας Λούκουλλον καὶ Πόντιον, οἵτινες ἐνίκησαν Τιγράνην τοπαρχοῦντα αὐτῆς καὶ ἐποίησεν αὐτὴν ἐπαρχίαν. καὶ τὴν λεγομένην δὲ Ἀραβίαν ὑφ' ἑαυτόν, ἤτοι ὑπὸ Ῥωμαίους, ἐποίησε κρατουμένην ὑπὸ Ἄραβα, βασιλέως βαρβάρων Σαρακηνῶν, καὶ ἐτεί- D
χισε κώμην ἣν ἐκάλεσε Βόστραν εἰς ὄνομα Βόστρου τοῦ πεμφθέντος ὑπ' αὐτοῦ στρατηγοῦ, καὶ τὰς λοιπὰς δὲ τοπαρχίας δίχα τῆς Καππαδοκίας τῆς τοπαρχουμένης ὑπὸ Ἀρχελάου καὶ τῆς τε- O 289
τραρχίας Ἡρώδου τοῦ τετραρχοῦντος τῆς Ἰουδαίας χώρας, ἐπειδὴ προσήνεγκαν αὐτῷ ἀμφότεροι δῶρα μεγάλα.

Ὁ δὲ Ἡρώδης βασιλεὺς τῆς Ἰουδαίας πρὸς τιμὴν αὐτοῦ ἐποίησε καὶ τὴν ὁδοστρωσίαν τὴν ἔξω τῆς πόλεως Ἀντιοχείας τῆς μεγάλης, ἦν γὰρ δύσβατος, στρώσας αὐτὴν λευκαῖς πλάκαις. ἐκάλεσαν δὲ ἀμφότεροι τοπάρχαι τὰς μητροπόλεις αὐτῶν πρὸς τιμὴν αὐτοῦ εἰς ὄνομα τοῦ Καίσαρος· ὁ μὲν Ἡρώδης βασιλεὺς E

8. Τιγράνην Ch., Τιγράνου Ox. 14. Καπποδοκίας Ox. ibid. τοπαρχίας τῆς — ὑπὸ Ἀρχελάου δίχα τῆς] „Locus iste manifesto mendosus: itaque suspicor legendum; Καὶ τὰς λοιπὰς δὲ τοπαρχίας (κατέλυσε, sive ὑπέταξε,) δίχα τῆς Καππαδοκίας, τῆς τοπαρχουμένης ὑπὸ Ἀρχελάου, καὶ τῆς τετραρχίας Ἡρώδου, etc.“ Ch. 21. μὴν Ox.

ubi Theatro magnifico extructo, statuam Marmoream sibi erexit. Tetrapylum etiam in eadem urbe, parvulum quod erat, ubi amplum effecisset, columnisque marmoreis, et Musivo adornasset; posita in eodem aenea statua, cum quatuor equis, ibidem quoque de victoria sua triumphum egit.

Inde Lucullo, et Pontio ducibus, adversus Tigranem, Phoeniciae regem, cum exercitu missis; ipsum profligavit, regionemque ejus Provinciam fecit. Arabiam etiam, quae Arabi, Barbarorum Saracenorum regi paruit, sibi, id est, Romano imperio subjugavit. Vicum etiam quendam muro cingens, Bostram vocavit, in nomen Bostri ducis, in Arabes a se missi. Similiter etiam et in reliquis fecit Principatibus; Cappadocia Archelai et Judaea Herodis regno, exceptis: amplis enim illum uterque muneribus donaverat.

Herodes autem, Judaeae rex, illius etiam in honorem, viam publicam extra Antiochiam urbem transitu difficilem, albis lapidibus stravit. Uterque vero principem regni sui urbem, Caesaris nomine, Augusti in honorem, nominavit. Herodes rex Stratonis Turrim, antea dictam, Cae-

καὶ τοπάρχης ἐκάλεσε Καισάρειαν Παλαιστίνης, τὴν πρώην λεγομένην Στράτωνος πύργον, ὁ δὲ Ἀρχέλαος βασιλεὺς καὶ τοπάρχης ἐκάλεσε Καισάρειαν Καππαδοκίας τὴν πρώην λεγομένην Μά-
O 290 ζακαν. ἦν γὰρ ὁ Καῖσαρ θεῖος τοῦ αὐτοῦ Αὐγούστου τοῦ παρεσχηκότος αὐτοῖς ἔχειν τῆς τετραρχίας τὴν βασιλείαν ἐπὶ τῶν τῆς ζωῆς αὐτῶν χρόνων.

Καὶ ἐξορμήσας ἐκ τῆς Παλαιστίνης παρέλαβε καὶ τὴν Αἴγυπτον· καὶ ὑποτάξας αὐτὴν εἰσῆλθεν ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ,
V 95 καὶ ἐκεῖ ἐθριάμβευσε τὴν ἰδίαν νίκην, ποιήσας καὶ τὴν Αἴγυπτον ὑπὸ Ῥωμαίους. καὶ ἔδωκεν ἄρχειν αὐτῶν τῶν Αἰγυπτίων ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ ἐν πρώτοις ἄρχοντα ἐκ τῶν ἰδίων αὐτοῦ ἀνθρώπων ὀνόματι Κορνήλιον Γάλλον· ᾧτινι ἔδωκεν ἀξίαν αὐγουσταλίου τοῦ ἰδίου ὀνόματος σήμαντρον.

Καὶ ἐκ τῆς Αἰγύπτου περάσας ὁ αὐτὸς Αὔγουστος ἀνῆλθεν ἐπὶ τὴν Ῥώμην, ὑπτιωθεὶς καὶ ἀπονενοημένος, ὡς ὑποτάξας τὸν κόσμον· καὶ τυραννήσας τὴν σύγκλητον ἐβασίλευσεν ἀφ' ἑαυτοῦ ἐν ὑπερηφανίᾳ ὤν, ἀνελὼν καὶ τὸν Βροῦτον τὸν φονεύσαντα τὸν Καίσαρα τὸν αὐτοῦ θεῖον. ὅντινα Βροῦτον φυλάττοντα τὴν Θεσσαλίαν μετὰ βοηθείας πέμψας ἀπεκεφάλισεν ἐπὶ τῆς ὑπα-
B τείας Καλβισιανοῦ καὶ Πολλίωνος, καθὼς Λουκανὸς ὁ σοφὸς Ῥωμαίων ποιητὴς συνεγράψατο.

Ἦν δὲ τοῖς χρόνοις τούτοις Σωσίβιός τις Ἀντιοχεὺς συγκλη-
O 291 τικὸς ἀνελθὼν μετὰ τοῦ Αὐγούστου ἐν τῇ Ῥώμῃ· καὶ τελευτᾷ καταλιπὼν τὴν πρόσοδον αὐτοῦ τῇ ἰδίᾳ πόλει εἰς τὸ ἐπιτελεῖσθαι ἐν αὐτῇ κατὰ πενταετηρίδα τριάκοντα ἡμέρας τοῦ ὑπερβερεταίου

1. *Παλαιστίνης* Ch., *Παλαιστίνην* Ox. 17. *ὑπερηφανίᾳ* Ox.

saream Palaestinae: Archelaus vero rex, Mazaca quae fuit, Caesaream Cappadociae vocavit. Augusti enim, qui utrique Principatum suum durante eorum vita, concesserat, Caesar avunculus fuit.

A Palaestina in Aegyptum progressus, eam subjugavit: eumque in Romanam servitutem redegisset, Alexandriam ingressus, de victoria sua triumphavit. Civitati autem huic primus Praefectum ex suis dedit, nomine Cornelium Gallum: quem et *Augustalis* dignitate, nominis sui insigni, cohonestavit.

Augustus deinde Aegypto solvens, Romam reversus est; summa fretus, ob orbem domitum, et fiducia et securitate. Senatum vero sibi habens in omnibus obedientem, pro arbitratu suo omnia disposuit. Brutum etiam, Caesaris avunculi percussorem, qui Thessaliam armis sumptis occupaverat, comprehensum, capite multavit, Calvisiano et Pollione Coss. uti Lucanus, sapiens Romanorum Poeta, memoriae prodidit.

Hac tempestate Sosibius quidam, Senator Antiochensis, Romam cum Augusto veniens, diem suum obiit: Testamento vero facultates omnes urbi suae addixerat; uti singulis lustris, mense Octobri, per dies totos XXX

μηνὸς ἀγῶνας ἀκροαμάτων καὶ θυμελικῶν, σκηνικῶν, πάντων καὶ ἀθλητῶν καὶ ἱππικὸν ἀγῶνα.

Καὶ κατέφθασεν ἐν Ἀντιοχείᾳ ἐν τῇ δευτέρᾳ παρουσίᾳ αὐτοῦ ὁ γαμβρὸς τοῦ αὐτοῦ Αὐγούστου Ἀγρίππας, καὶ ἐξεχόϊσε τοῦ παλαιοῦ ἱππικοῦ τὰ χώματα ἅπερ εἶχεν ἐκ τῶν πρῴην φόβων· καὶ ἐθεώρησε τὴν πολύτροπον θέαν ὁ αὐτός· καὶ θαυμάσας ἐξῆλθεν ἐκεῖθεν. Ἔκτισε δὲ πρῴην τὸ αὐτὸ παλαιὸν ἱππικὸν C καὶ τὸ παλαιὸν παλάτιον ἐκ τῶν ἰδίων Κοΐντος [δὲ] Μαρκιανὸς ῥὴξ Ῥωμαίων, κατελθὼν ἐν Ἀντιοχείᾳ τῆς Συρίας πρὸς Φίλιππον τὸν βαρύπουν τὸν Μακεδόνα τὸν βασιλεύοντα ἐν Ἀντιοχείᾳ τυπῶσαι φόρους διδόναι αὐτὸν Ῥωμαίοις.

Ἐγένετο βάσιλεὺς Ῥωμαίων πρῶτος καὶ μόνος καὶ ὀργιοφάντης ὁ αὐτὸς θειότατος Αὔγουστος· καὶ ἐχρημάτιζεν ἑαυτὸν οὕτως, Αὔγουστος Καῖσαρ Ὀκταβιανὸς τροπαιοῦχος σεβαστὸς O 292 κραταιὸς ἰμπεράτωρ, ὅπερ ἐστὶν αὐτοκράτωρ. καὶ ἐβασίλευσεν ὁ αὐτὸς Αὔγουστος τὰ πάντα ἔτη νς'. τῇ δὲ θέᾳ ὑπῆρχε κονδοειδής, λεπτός, ἁπλόθριξ, εὐόφθαλμος, εὔρινος.

Ἐν δὲ αὐτοῦ βασιλείᾳ ἔκτισε τὸ ἱερὸν τοῦ Διὸς ἐν τῇ Ῥώμῃ, D ἀνανεώσας καὶ τὸ Καπετώλιον, ποιήσας τὰ ἀμφότερα φοβερὰ κτίσματα.

1. πάντων omisit Chron. Pasch. p. 192. B. Comparatis p. 105. B, C legendum puto τραγικῶν. Ibidem est ἱππικῶν. 8. Κοΐντος δὲ Μαρκιανὸς ῥὴξ Ῥωμαίων] „Locus mendosus: δὲ mihi omnino παρέλκειν videtur. Quinam vero sint, quos hic memorat, Quintus Marcianus et Philippus Barypus, doctioribus inquirendum permitto. Forte Ῥωμαίων redundat, et ῥὴξ cognomen est. Certe Marcium Regem habemus Cos. in Fastis Siculis, ad finem Olympiadis CLXXVI.“ Ch. 18. αὐτοῦ] τῇ αὐτοῦ ed. Veneta.

Ludi omnifarii, Thymelici, Scenici, Athletici et Equestres, populo exhiberentur.

Agrippa vero, Augusti gener, Antiochiam secundo visens, Circum veterem, a ruderibus ruinarum prioribus terrae motibus factarum, repurgari curavit: ubi cum Ludos hosce varios summa cum admiratione spectasset, exinde discessit. Circum autem hunc veterem olim condidit Quintus Marcianus, Dux Romanus, cum Antiochiam Syriae, vectigal Romanis pendendum Philippo Barypo, Macedoni, ad Antiochiam regnanti indicendi causa advenisset.

Idem divinissimus Augustus, Romanorum imperator et Monarcha primus, Sacrorumque Antistes erat: Cognomenta autem ista sibi arrogavit. *Augustus Caesar Octavianus, victor augustus invictus, imperator,* quod (Graecis) sonat, αὐτοκράτωρ. Imperavit autem Augustus in universum annos LVI. Erat vero statura curta, gracilis, capillitio lento ac porrecto, pulchris oculis, naso eleganti.

Eo imperante Jovis Fanum extructum est, Capitoliumque instauratum: utrumque aedificium plane stupendum.

Τῷ δὲ λθ' ἔτει καὶ μηνὶ τῷ δεκάτῳ τῆς βασιλείας αὐτοῦ ἐθέσπισεν ἐκφωνήσας δόγμα ὥστε ἀπογραφῆναι πᾶσαν τὴν ὑπ' αὐτὸν γενομένην γῆν καὶ ἣν πρώην εἶχον οἱ Ῥωμαῖοι ἐπὶ τῆς ὑπατείας Ἀγρίππου τὸ δεύτερον καὶ Δονάτου. καὶ ἀπεγράφη πᾶσα ἡ ὑπὸ Ῥωμαίους γῆ διὰ Εὐμενοῦς καὶ Ἀττάλου συγκλητικῶν Ῥωμαίων. εἶχε γὰρ πολὺν φόβον· ὀργίλος γὰρ ἦν πάνυ.

Μετὰ δὲ τὸ διελθεῖν τὸ μα' ἔτος καὶ μῆνα τὸν ἕκτον τῆς
E *βασιλείας αὐτοῦ ἐν τῷ δύστρῳ μηνὶ κε', ὥραν ἡμερινὴν δευτέραν, ἡμέρᾳ κυριακῇ εὐηγγελίσατο ἐν Ναζαρὲτ τῇ πόλει ὁ ἀρχάγγελος Γαβριὴλ τὴν ἁγίαν παρθένον καὶ θεοτόκον Μαρίαν ἐν ὑπατείᾳ Κουϊνίου καὶ Λογγίνου, ἡγεμονεύοντος δὲ τῆς Συρίας Οὐιτιλλίου τοῦ καὶ προαχθέντος νεωστὶ ὑπὸ τοῦ Αὐγούστου Καίσαρος.*

5. Εὐμενοῦς] De hoc accentu v. Eustathius ad Odyss. p. 583. 34. 11. *Κουινίου*] *Κουΐντου?* 12. *Οὐιτιλλίου*] *Οὐιτελλίου* corrigendum cum Ch.

Anno autem regni XXXIX, mense X, Agrippa II, et Donato Coss. edicto jussit, ut regiones omnes Imperio Romano subditae, tam eae quas ipse subjugaverat, quam quas antea tenuerunt Romani, censerentur. Factus est autem iste Census, per totum imperium Romanum, ab Eumene et Attalo, Senatorii ordinis hominibus. Magnam enim apud omnes habuit reverentiam; ut qui ad iram pronissimus erat.

Exacto autem regni ejus anno XLI, menseque VI, Martii XXV, hora diei II, die Dominico, Beata virgo, ac Deipara, Maria, ab Archangelo Gabriele, in urbe Nazareth, laetum nuncium accepit; Quinto et Longino Coss. Vitellio autem Syriae Praefecto, ab Augusto Caesare recens constituto.

ΛΟΓΟΣ Ι'. O 293 V 96

ΧΡΟΝΩΝ ΒΑΣΙΛΕΙΑΣ ΑΥΓΟΥΣΤΟΥ ΚΑΙ ΕΝΑΝΘΡΩΠΗΣΕΩΣ ΘΕΟΥ.

Ἐν δὲ τῷ μβ' ἔτει καὶ μηνὶ τῷ δ' τῆς βασιλείας τοῦ αὐτοῦ A Αὐγούστου ἐγεννήθη ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ Χριστὸς τῇ πρὸ η' καλανδῶν ἰανουαρίων μηνὶ δεκεμβρίῳ κε', ὥραν ἡμερινὴν ἑβδόμην, ἐν πόλει τῆς Ἰουδαίας ὀνόματι Βηθλεέμ, πλησίον οὖσαν τῆς Ἱερουσαλήμ, ἔτους κατὰ Ἀντιόχειαν τὴν μεγάλην χρηματίζοντος μβ', ἡγεμονεύοντος τῆς Συρίας Κυ- O 294 ρηνίου τοῦ ἀπὸ ὑπάτων, ὑπατεύοντος δὲ τοῦ αὐτοῦ Ὀκταβιανοῦ καὶ Σιλουανοῦ, τοπαρχοῦντος δέ, ἤτοι βασιλεύοντος, τῆς Ἰουδαίας Ἡρώδου τοῦ βασιλέως.

Συνάγεται οὖν ἀπὸ Ἀδὰμ ἕως τοῦ Φαλέκ, υἱοῦ Ἔβερ, ἔτη βφλγ', καὶ ἀπὸ Φαλὲκ ἕως τοῦ μβ' ἔτους τῆς βασιλείας Αὐγού- B

3. Ἰανουαρίων Ch., Ἰαννουαρίῳ Ox. Sic et infra saepius. 5. οὖσαν] V. ad p. 54. A. 6. Κυρηνίου] Conf. Lucae cap. II. 2.

LIBER X.

DE TEMPORIBUS AUGUSTI IMPERATORIS ET DEI INCARNATIONE.

Anno autem XLII, mense IV, Augusti imperantis, VIII Kal. Januarias, Decembris XXV, hora diei VII, natus est Dominus Deus noster, Jesus Christus, in civitate Judaeae, nomine Bethleem, Hierosolymis vicina: (erat is annus Aerae Antiochenae XLII,) Cyrenio, viro Consulari, Syriae tunc temporis Praefecto, Octaviano ipso, et Silvano Coss. Herode vero Judaeae regnum tenente.

Numerantur ergo ab Adamo, ad Phalecum usque, Eberi F. anni MMDXXXIII; a Phaleco vero, ad Augusti Caesaris regni annum XLII, anni

στου Καίσαρος ἔτη ͵βϡξζʹ, ὡς συνάγεσθαι ἀπὸ Ἀδὰμ τοῦ πρωτοπλάστου ἕως τῆς κατὰ σάρκα γεννήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ μβʹ ἔτους τῆς βασιλείας τοῦ αὐτοῦ Αὐγούστου Καίσαρος ἔτη ͵εφʹ.

Καὶ λοιπὸν συνανεστράφη ἐπὶ τῆς γῆς τοῖς ἀνθρώποις ὁ κύριος ἡμῶν καὶ θεός, ὡς ἐν ταῖς γραφαῖς ἐμφέρεται, ἔτη λγʹ, ὡς γίνεσθαι ἀπὸ Ἀδὰμ ἕως τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ σάρκα γεννήσεως καὶ σταυρώσεως ἔτη ͵εφλγʹ. ὁ γὰρ Φαλὲκ κατὰ τὴν προφητικὴν φωνὴν Μωσέως τὸ ἥμισυ λέγεται τοῦ χρόνου τῆς μελλούσης τοῦ Χριστοῦ παρουσίας. ὥσπερ γὰρ τὸν
C ἄνθρωπον τῇ ἕκτῃ ἡμέρᾳ ἔπλασεν, ὡς Μωσῆς ἐξέθετο, συντάξας ἐν τοῖς ὑπομνήμασιν αὐτοῦ καὶ τοῦτο, „καὶ ἐστὶν ἡ μία ἡμέρα κυρίου ὡσεὶ χίλια ἔτη," τῇ δὲ ἕκτῃ ἡμέρᾳ, ὡς προεῖπεν ἡ
O 295 γραφή, ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον, καὶ ὑπέπεσε τῇ ἁμαρτίᾳ ὁ ἄνθρωπος· ὡς δῆλον εἶναι ὅτι οὕτω καὶ τῇ ἕκτῃ ἡμέρᾳ τῆς χιλιάδος ἐπὶ τῆς γῆς ἐφάνη ὁ δεσπότης ἡμῶν Ἰησοῦς ὁ Χριστός, καὶ ἔσωσε τὸν ἄνθρωπον διὰ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως· ἅτινα συνεγράψατο Κλήμης, Θεόφιλος, καὶ Τιμόθεος, οἱ σοφοὶ χρονογράφοι, ὁμοφωνήσαντες. ὁ δὲ θεοφιλέστατος χρονογράφος Εὐσέβιος ὁ Παμφίλου ὁ γενόμενος ἐπίσκοπος Καισαρείας Παλαιστίνης τῇ μὲν ἕκτῃ χιλιάδι τῶν ἐνιαυτῶν λέγει καὶ

11. συντάξας ἐν τοῖς ὑπομνήμασιν αὐτοῦ] „Haec Mosis verba habentur in hymno ejus, inter Psalmos Davidicos numero XC. quae etiam repetuntur, Petri Epist. II. cap. III. ver. VIII. Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς μία ἡμέρα." Ch. 20. Εὐσέβιος] Vid. ad p. 22. A. 21. μὲν] μὲν γὰρ Ox.

sunt MMDCCCCLXVII: adeo ut ab Adamo, primo homine, ad Incarnationem D. N. Jesu Christi, id est, ad Augusti Caesaris Imperantis annum XLII, anni effluxerint MMMMMD.

Conversationem suam denique habuit in terra cum hominibus per annos XXXIII; sicut testantur S. Scripturae. Ab Adamo igitur, ad D. N. Jesum Christum in carne Crucifixum, anni habentur MMMMMDXXXIII. Phalecus enim, secundum Mosis Prophetiam, dimidium dicitur temporis Christi futuri adventus. Quemadmodum enim hominem Deus die sexto formavit, uti Moses scriptis suis testatus est; (qui etiam et hoc addit, apud Dominum, scilicet, unum diem idem esse, ac Mille annos: die vero sexto, ut antea diximus ex scriptura, Deus hominem formavit; qui deinde in peccatum lapsus est:) consentaneum omnino videtur, ut sexto etiam die Millenario in terris appareret D. N. Jesus Christus, Passione, et resurrectione sua hominem salvaturus. Haec vero a sapientissimis Chronographis Clemente, Theophilo et Timotheo, inter se consentientibus, accepimus. Eusebius autem Pamphili, Caesareae Palaestinae Episcopus, et ipse

αὐτὸς φανῆναι τὸν ὅλων σωτῆρα καὶ κύριον Ἰησοῦν Χριστόν, κατὰ τὸν ἀριθμὸν τῶν ἓξ ἡμερῶν τῆς πλάσεως τοῦ Ἀδάμ· πρὸ D τοῦ δὲ πληρωθῆναι τὸ ἑξακισχιλιοστὸν ἔτος εἶπεν ὅτι ἐφάνη ἐπὶ τῆς γῆς ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς ῥύσασθαι τὸ γένος τῶν ἀνθρώπων· καὶ ἐγεννήθη καὶ ἐνηνθρώπησε, φησί, τῷ ,εφʹ ἔτει· ἔπαθε καὶ ἀνέστη ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς καὶ ἀνελήφθη τῷ ,εφλγʹ ἔτει. ἐν δὲ τῷ ἑξακισχιλιοστῷ ἔτει συμφωνοῦσιν ἅπαντες φανῆναι τὸν κύριον· κἂν οὖν πλέον V 97 κἂν ἔλασσον, εἰς τὸ ,ς ἔτος εἶπαν φανῆναι κατὰ τὴν προφητικὴν φωνήν, καὶ μὴ ὁμοφωνοῦσιν ἐκθέμενοι περὶ τὸν ἀριθμὸν τῶν ἐνιαυτῶν, ἐν ἐσχάτοις καιροῖς ἐφάνη, ὡς ἡ θεία γραφὴ σημαίνει.

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Αὐγούστου Καίσαρος σε- O 296 βαστοῦ ἔπαθεν ὑπὸ θεομηνίας πόλις τῆς Παλαιστίνης ὀνόματι Σαλαμίνη. ἥντινα πόλιν ἐγείρας ὁ αὐτὸς Αὔγουστος ἐπεκάλεσε Διὸς πόλιν.

Ἡρώδης δὲ ὁ τοπάρχης, ἤτοι βασιλεύς, τῆς Ἰουδαίας ἐν αὐτῷ τῷ χρόνῳ ἐδιδάχθη ὅτι κατάσκοποι μάγοι ἀπὸ Περσίδος εἰσῆλθον εἰς τὴν Ἰουδαίαν χώραν· καὶ ἐκέλευσεν αὐτοὺς συσχεθῆναι. ἦλθον γὰρ ἀπὸ τῆς Περσίδος μάγοι, γνόντες, ὡς μυ- B στικοί, διὰ τοῦ φανέντος ἀστέρος τοῦ μηνύσαντος εἰς τὴν ἀνατολὴν τὴν τοῦ σωτῆρος Χριστοῦ ἐνανθρώπησιν, δῶρα φέρον-

9. ,ς] ϛʹ Ox. 10. καὶ] κἂν? ibid. τὸν Ch., τῶν Ox.
22. ἐνανθρώπησιν Ch., ἐνανθρωπήσεως Ox.

omnium Dominum et Salvatorem, Jesum Christum, sexto annorum Millenario, secundum numerum diei, quo factus est Adamus, apparuisse fatetur: „ante impletum, inquiens, sextum Millenarium annorum terris sese exhibuit D. N. Jesus Christus; uti genus humanum liberaret.“ Natum autem esse, et incarnatum anno Mundi MMMMMD, esse etiam passum, et resurrexisse, inque coelos assumptum anno MMMMMDXXXIII, affirmat idem. Utcunque igitur inter Scriptores haud convenit, de numero adventus Domini, aliis plures, pauciores aliis numerantibus, in hoc tamen sunt omnes, illum aetate Mundi sexta, juxta dictum Propheticum, apparuisse. Ultimis enim temporibus venisse, testatur S. scriptura.

Augusti Caesaris sub imperio, iram divinam experta est Salamine, Palaestinae urbs. Hanc Augustus refecit, et Diospolim vocavit.

Sub hoc tempus Herodes, Judaeorum rex, Magos quosdam, Judaeam explorandi causa advenisse edoctus, eos comprehendi jussit. Magi enim hi, Mysteriorum haud ignari, cum ex stella in oriente visa, Christum in carne venisse intellexissent; dona secum ferentes, eum, tanquam regem

τες αὐτῷ, ὡς βασιλεῖ μεγάλῳ καὶ νικητῇ. οἵτινες εἰς τὴν ἀνα-
τολὴν ἐλθόντες ἐπηρώτων, Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν
Ἰουδαίων; καὶ ἐθρυλλήθησαν τοῖς Ἰουδαίοις. οἵτινες μάγοι γνω-
σθέντες συνεσχέθησαν καὶ εἰσηνέχθησαν τῷ Ἡρώδῃ βασιλεῖ.
καὶ ἐπηρώτησεν αὐτούς, Διὰ τί ἐπὶ τὴν Ἰουδαίαν χώραν ἐγένε-
σθε κατάσκοποι; καὶ ἀνήγαγον αὐτῷ οἱ μάγοι τὸ τοῦ ἀστέρος
θαῦμα, καὶ ὅτι μέγας βασιλεὺς ἐγεννήθη τῷ κόσμῳ, καὶ ὅτι δῶ-
ρα αὐτῷ ἐνεγκόντες παρεγενόμεθα, ὡς βασιλεῖ μεγάλῳ, προσενέγ-
C και αὐτῷ ἃ ἐπιφερόμεθα δῶρα, ὡς θεῷ. εἴδομεν γὰρ αὐτοῦ
τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. ὁ
δὲ Ἡρώδης ἀκούσας ταῦτα ἔκθαμβος ἔμεινε, λογιζόμενος ὅτι
O 297 μετὰ Αὔγουστον Καίσαρα ποίας ἐστὶ δυνάμεως ὁ γεννηθεὶς βα-
σιλεύς. ἦσαν οὖν ἐλθόντες οἱ μάγοι ἐν Ἱεροσολύμοις ἐν ὑπα-
τείᾳ Οὐϊνδικίου καὶ Οὐαλερίου. ἠκριβώσατο οὖν παρ' αὐτῶν ὁ
Ἡρώδης τὸν χρόνον τοῦ φανέντος ἀστέρος, καὶ εἶπεν αὐτοῖς τοῖς
μάγοις ὅτι Ἐὰν εὕρητε αὐτόν, ἐλθόντες ἀπαγγείλατέ μοι, ὅπως
κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. καὶ ἀπελθόντες οἱ μάγοι,
ὁδηγούμενοι ὑπὸ τοῦ ἀστέρος, οὗ ἑωράκασιν ἐν τῇ ἀνατολῇ, ηὗ-
ρον τὸν Ἰησοῦν καὶ τὴν μητέρα αὐτοῦ ἐν Βηθλεὲμ τῇ πόλει.
D καὶ πεσόντες εἰς τὸ ἔδαφος τῆς γῆς προσεκύνησαν τῷ σωτῆρι
Χριστῷ· ἔλεγον γὰρ ἐν ἑαυτοῖς ὅτι τὸν μείζονα αὐτοῦ θεὸν
ὑποδεικνύει ἡμῖν οὗτος ὁ ἀστήρ, ὃν ἡμεῖς τιμῶμεν, ὡς θεόν.
καὶ προσενέγκαντες αὐτῷ δῶρα ἅπερ ἐβάσταζον, ὡς θεῷ, καὶ

1. εἰς τὴν ἀνατολὴν] Immo ἐκ τῆς ἀνατολῆς, nisi verba male repetita sunt.

magnum et victorem, veneraturi advenerant. Orientem itaque versus cursum suum dirigentes, ubi natus esset Judaeorum Rex, sciscitati sunt. Fama autem eorum inter Judaeos passim ferebatur; donec noti tandem comprehensique, ad Herodem regem perducerentur. Ei vero, quamobrem Judaeam explorandi causa advenerant, interroganti, responderunt; se, stella mirabili in Oriente visa monitos, Regem Magnum mundo natum esse, dona ei, ceu Regi Magno oblaturos, illumque ut Deum veneraturos, advenisse. His auditis, Herodes admirabundus obstupuit, secum reputans, secundum Caesarem quantae potestatis esse potuerit Rex iste. Magi autem isti Hierosolymas venerunt, Vindicio et Valerio Coss. Herodes vero tempus, quo stella apparuit, a Magis diligenter exquirens, dimisit eos, dicens; si inveniatis eum, mihi renuncietis vellem, ut et ego adiens, illum venerer. Magi itaque abeuntes, et ipsam, quam in Oriente viderant, stellam viae ducem habentes, Jesum et matrem ejus, in urbe Bethleem invenerunt. Inter se vero dicentes; „stella ista, quam nos pro Deo habemus, Deum certe se majorem nobis exhibet:“ in terram proni cadentes, donaque, quae attulerant, ei, ceu Deo, offerentes, Christum salvatorem venerati sunt. Divinitus vero admoniti, Herode Rege

χρηματισθέντες, δι' ἄλλης ὁδοῦ, τῆς τοῦ λιμίτου, ἀνῆλθον εἰς τὰ Περσικὰ μέρη, καταφρονήσαντες τοῦ Ἡρώδου βασιλέως.

Καὶ ὡς παιχθεὶς ὁ αὐτὸς Ἡρώδης βασιλεὺς ὑπὸ τῶν μάγων ἐθυμώθη· καὶ περιεργασάμενος ἀπὸ τῶν ἀρχιερέων τῶν Ἰουδαίων ποῦ ὁ Χριστὸς γεννᾶται, ἔμαθε. καὶ πέμψας τοὺς στρατιώτας ἔσφαξε πάντα τὰ νήπια ἐν Βηθλεὲμ τῇ πόλει τῆς Ἰουδαίας, καθὼς ἡ θεία λέγει γραφή. καὶ ληφθεὶς εὐθέως ὁ Ἡρώδης πάθει ἀνιάτῳ σκωληκόβρωτος ἐγένετο καὶ ἀπέθανε, καὶ E ἐγένετο βασιλεύς, ἤτοι τοπάρχης, τοῦ Ἰουδαϊκοῦ ἔθνους Ἀρχέ- O 298 λαος ὁ υἱὸς αὐτοῦ ἔτη θ', ἐν ὑπατείᾳ Λαμία καὶ Σερελλιανοῦ, καθὼς ὁ σοφώτατος Κλήμης ὁ χρονογράφος ἐξέθετο.

Ὁ δὲ Αὔγουστος Καῖσαρ Ὀκταβιανὸς τῷ νε' ἔτει τῆς βασιλείας αὐτοῦ μηνὶ ὀκτωβρίῳ τῷ καὶ ὑπερβερεταίῳ ἀπῆλθεν εἰς τὸ μαντεῖον· καὶ ποιήσας ἑκατόμβην θυσίαν ἐπηρώτη- V 98 σε, Τίς μετ' ἐμὲ βασιλεύσει τῆς Ῥωμαϊκῆς πολιτείας; καὶ οὐκ ἐδόθη αὐτῷ ἀπόκρισις ἐκ τῆς Πυθίας. καὶ πάλιν ἐποίησεν ἄλλην θυσίαν, καὶ ἐπηρώτησε τὴν Πυθίαν τὸ διὰ τί οὐκ ἐδόθη αὐτῷ ἀπόκρισις, ἀλλὰ σιγᾷ τὸ μαντεῖον. καὶ ἐῤῥέθη αὐτῷ ἀπὸ τῆς Πυθίας ταῦτα.

Παῖς Ἑβραῖος κέλεταί με θεὸς μακάρεσσιν ἀνάσσων
τόνδε δόμον προλιπεῖν καὶ ἄϊδος αὖθις ἱκέσθαι.

4. ἐθυμώθη Ch., Matthaei II. 16., ἐθυμιώθη Ox. 7. λέγει] Matth. l. c. 8. σκωληκόβροτος Ox. 20. θεὸς] θεοῖς Suidas v. Αὔγουστος. 21. ἄϊδος] ἀΐδην Suidas, ὁδὸν Cedrenus p. 182. C.

insuper habito, ad limites divertentes, per avia tandem ad Persidem evaserunt.

Herodes ubi se a Magis delusum esse sensisset, ira commotus est: curiosius itaque a Pontificibus Judaeorum inquirens, ubi Christus nasceretur; et Bethleem Judaeae, locum esse edoctus; missis illuc militibus, infantes omnes neci dedit: sicuti sacrae testantur Scripturae. Herodes vero morbo incurabili statim correptus, a vermibus exesus interiit. Hunc in regno Judaeorum excepit Archelaus, ejus filius, Lamia et Serelliano Coss. regnavitque annos IX, sicuti Clemens, sapientissimus Chronographus scriptum reliquit.

Augustus vero Caesar Octavianus, imperii sui anno LV, mense Hyperberetaeo, sive Octobri, Oraculum adit: factaque Hecatombe, Pythiam rogavit, dicendo. „Quis, post Me, Romana tenebit sceptra?“ Vate vero nihil respondente, sacra iterum peregit, et secunda vice sciscitatus est: „Quare, inquiens, Oraculum silet,“ nec mihi dat responsum? Tum demum a Pythia accepit haec.

Me puer Hebraeus, summi moderator Olympi,
Migrare hinc mandat, Stygiasque revertere ad umbras.

καὶ λοιπὸν ἄπιθι ἐκ πρόμων ἡμετέρων.

O 299 Καὶ ἐξελθὼν ἐκ τοῦ μαντείου ὁ Αὔγουστος Καῖσαρ, καὶ ἐλ-
B θὼν εἰς τὸ Καπετώλιον, ἔκτισεν ἐκεῖ βωμὸν μέγαν, ὑψηλόν, ἐν ᾧ ἐπέγραψε Ῥωμαϊκοῖς γράμμασιν, Ὁ βωμὸς οὗτός ἐστι τοῦ πρωτογόνου θεοῦ· ὅστις βωμός ἐστιν εἰς τὸ Καπετώλιον ἕως τῆς νῦν, καθὼς Τιμόθεος ὁ σοφὸς συνεγράψατο.

Ὁ δὲ αὐτὸς Καῖσαρ Ὀκταβιανὸς νόσῳ βληθεὶς ἐν τῇ Ῥώμῃ ἐτελεύτησε, γέρων ὢν ἐτῶν οε', ἄπαις καὶ σωφρονήσας ἀπὸ σωματικῆς ἁμαρτίας. ἦν γὰρ μυστικὸς ἀρχιερεὺς καὶ βασιλεύς.

Μετὰ δὲ τὴν βασιλείαν Αὐγούστου Καίσαρος ἐπὶ ὑπατείας Σέξτου καὶ Σεκτικιανοῦ ἐβασίλευσε Τιβέριος Καῖσαρ ἔτη κβ'.
O 300 ἦν δὲ διμοιριαῖος, γέρων, λεπτακινός, εὐόφθαλμος, μελάγχροος,
C κονδόθριξ, οὖλος, ὑπόσιμος, φιλοκτίστης. ὅστις ἐπεστράτευσε κατὰ Περσῶν, καὶ μὴ πολεμήσας, ἀλλὰ παρακληθεὶς παρ' αὐτῶν πάκτα εἰρήνης ἐποίησε.

Καὶ ἀνιὼν ἐπὶ τὴν Ῥώμην ἦλθεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, καὶ ἔκτισεν ἔξω τῆς πόλεως ἐμβόλους δύο μεγάλους πρὸς τῷ ὄρει τῷ λεγομένῳ Σιλπίῳ, ἔχοντας διαστήματα μιλίων δ', ὑποῤῥόφους καὶ πανευπρεπεῖς. καὶ κατὰ ῥύμην κτίσας τετράπυλα διὰ εἰλημάτων, φιλοκαλήσας αὐτὰ μουσώσει καὶ μαρμάροις, καὶ τὴν πλατεῖαν δὲ χαλκουργήμασι καὶ ἀγάλμασι κοσμήσας καὶ τειχίσας τοὺς αὐτοὺς ἐμβόλους καὶ τὸ ὄρος ἀποκλείσας ἔσωθεν,

1. λοιπὸν ἄπιθι σιγῶν ἐκ βωμῶν ἡμετέρων Suidas, ἄπιθι λοιπὸν ἐκ δόμων ἡμετέρων Cedrenus. Conf. supra p. 27. A. 13. οὐλός Ox. 18. Malim ὑπωρόφους. 20. φιλοκαλλήσας Ox.

Vade igitur, nostrum neve ultra altare fatiges.

Augustus itaque inde ex Oraculo discedens, in Capitolium venit; ubi altari excelso erecto, ei literis Latinis inscribi jussit: *Haec est Ara Primogeniti Dei.* Quae Ara adhuc usque visitur, in Capitolio: uti sapiens Timotheus memoriae prodidit.

Caesar autem Octavianus in morbum incidens, Romae moritur, senex, annorum LXXV, fine prole, et ab omni labe corporis liber; ut qui non Rex solum, sed et Pontifex Maximus fuit, mysteriorumque peritus.

Post Caesarem Augustum, Imperator factus est Tiberius, Sexto et Sexticiane Coss. et regnavit annos XXII. Erat vero statura mediocrem superante, aetate vergente, gracilis, oculis pulchris, niger, capillitio brevi, crispoque, subsimus, aedificationi deditissimus. Hic contra Persas arma movebat: res vero ad pugnam non devenerunt; verum Caesar oblatas ab eis pacis conditiones accepit.

Inde Romam reversurus, Antiochiam magnam venit; ubi extra urbem juxta montem Silpium, porticus duas extruxit magnificas, desuper contignatas, et splendide ornatas, quatuor Milliarium intervallo distantes inter se. Tetrapyla etiam contignata vicatim extruxit, quae et marmore, et musivo adornavit: ipsam vero urbis plateam statuis, et columnis aereis

προσεκόλλησε τῷ αὐτῷ τείχει τὸ νέον τῷ παλαιῷ τείχει τῆς πό- D λεως τῷ ὑπὸ Σελεύκου γενομένῳ, ἀποκλείσας διὰ τοῦ ἰδίου αὐτοῦ τείχους καὶ τὴν ἀκρόπολιν καὶ τὴν Ἰώπολιν. καὶ ἀνέστησε τῷ αὐτῷ Τιβερίῳ Καίσαρι ἡ βουλὴ καὶ ὁ δῆμος τῶν Ἀντιοχέων στήλην χαλκῆν ὑπεράνω μεγάλου κίονος Θηβαίου ἐν τῇ πλατείᾳ κατὰ τὸ μέσον τῶν ἐμβόλων τῶν ὑπ᾽ αὐτοῦ κτισθέντων. ὅστις τόπος κέκληται ὁ ὀμφαλὸς τῆς πόλεως, ἔχων καὶ τύ- O 301 πον ἐγγεγλυμμένον ἐν λίθῳ ὀφθαλμοῦ. ἥτις στήλη ἵσταται ἕως τῆς νῦν.

Ὁ δὲ αὐτὸς Τιβέριος Καῖσαρ μαθὼν ὅτι ὁ Σέλευκος ὁ βασιλεὺς φοβηθεὶς τὰς ῥύσεις τῶν ὑδάτων κατιόντων ἐκ τοῦ ὄρους χειμῶνος καὶ λιμναζόντων, ἀποφυγὼν τὸ ὄρος ἐν τῇ πεδιάδι τὴν πόλιν ἔκτισε, καὶ ἔθηκε τῇ αὐτοῦ στήλῃ κιβώτιον λίθινον, E ἐν ᾧ ἐποίησε τέλεσμα δι᾽ Ἀβλάκκωνος, τελεστοῦ καὶ ἱερέως, διὰ τὰς ῥύσεις τοῦ Παρμενίου χειμάῤῥου ποταμοῦ καὶ τῶν κατερχομένων ῥυάκων ἐκ τοῦ ὄρους πρὸς τὸ μὴ βλάπτεσθαι τὸ αὐτὸ μέρος τῆς πόλεως ἢ πορθεῖσθαι τοὺς ὑπ᾽ αὐτοῦ κτισθέντας δύο ἐμβόλους μεγάλους· ὅπερ κιβώτιον λίθινον λέγουσιν εἶναι οἱ Ἀντιοχεῖς πολῖται τὰ ὠνεωκὰ τῆς πόλεως αὐτῶν, διότι ἐξηγόρακε τὸ μέρος αὐτὸ τῆς πόλεως διὰ τῆς ἀσφαλείας τοῦ κτισθέντος V 99 παρ᾽ αὐτοῦ τείχους ἐκ τῆς τῶν βαρβάρων Σαρακηνῶν καὶ Περσῶν ἐπιδρομῆς καὶ ἁλώσεως. ᾤκεῖτο γὰρ δίχα τείχους πρῴην

1. τῷ αὐτῷ τείχει] τὸ αὐτὸ τεῖχος Ch. 19. ὠνεωκὰ] Immo ὠνεακά.

splendidam fecit. Insuper etiam moenibus urbis olim a Seleuco factis, nova adjecit, intra quae, non solum Porticus illas duas clausit, sed et montem etiam ipsum, Acropolim quoque et Jopolim. Senatus itaque, populusque Antiochenus, Tiberio Caesari statuam aeream posuit, supra columnam magnam Thebanam, in platea, inter porticus illas duas ab ipso extructas mediam: qui quidem locus Umbilicus urbis vocatur: ubi et oculi effigiem, lapidi insculptam, videre est. Statua autem illa ibi adhuc visitur.

Tiberius autem Caesar, ubi intellexisset, Seleucum regem, caventem sibi a torrentibus aquarum, quae per hybernum tempus e monte exundantes restagnabant, monte relicto, in planicie urbem condidisse; et ipse, opera usus Ablacconis cujusdam, sacerdotis et mystae, juxta statuam suam, capsulam lapideam collocavit, mystice praeparatam: nempe ut Parmenii torrentis eluviones, et aquarum e Monte cataractas, hoc fascino propelleret, ne pars illa urbis laederetur, aut Porticus a se extructae averterentur. Capsulam vero hanc lapideam Antiocheni dicunt esse *Redemptorium* urbis suae: nimirum, quod haec murum, a Tiberio factum, inexpugnabilem reddens, eam urbis partem quasi redemit ab incursionibus et rapinis Barbarorum Saracenorum et Persarum. Olim enim ea

τὸ παρὰ τὸ ὄρος μέρος τῆς πόλεως, κτισθὲν ὑπὸ Ἀντιόχου τοῦ
ἐπιφανεστάτου βασιλέως· ὅτι καὶ τὸ βουλευτήριον ἔκτισε καὶ
ἄλλα ἱερά. ὡσαύτως δὲ καὶ Ἀντίοχος ὁ βασιλεὺς πάλιν ὁ λε-
O 302 γόμενος Φιλάδελφος ἔκτισεν ἔξω τῆς πόλεως πολλά· ὅστις καὶ
ἐν Δάφνῃ ἔκτισεν ἐν τῷ ἄλσει ἱερὰ δύο, Ἀπόλλωνος καὶ Ἀρτέμι-
δος, στήσας ἐν αὐτοῖς ἀγάλματα δύο χρυσᾶ, παρασχὼν προνό-
μια τοῖς καταφεύγουσιν ἐκεῖ πρὸς τὸ μὴ ἐκβάλλεσθαί τινα ἐκ
B τῶν αὐτῶν ἱερῶν. ταῦτα δὲ ἔκτισαν, ὅτε τὰ Μακεδονικὰ βα-
σίλεια ὑπῆρχεν.

Ὁ δὲ Τιβέριος Καῖσαρ ἔκτισεν ἐν τῇ αὐτῇ Ἀντιοχείᾳ πόλει
ἱερὸν μέγα Διὸς Καπετωλίου. ὁμοίως δὲ ἔκτισεν ὁ αὐτὸς βασι-
λεὺς καὶ δημόσιον λουτρὸν πλησίον τῆς Ὀλυμπιάδος πηγῆς τῆς
κτισθείσης ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος εἰς ὄνρμα τῆς αὐ-
τοῦ μητρός· ἔπιε γὰρ ἐκ τοῦ αὐτοῦ ὕδατος Ἀλέξανδρος ἐλθὼν
ἐκεῖ καὶ εἶπεν ὅτι Ἔπια γάλα τῆς ἐμῆς μητρός. κεῖται δὲ ἡ πη-
γὴ παρὰ τὸ ὄρος· ἥντινα ὁ αὐτὸς Τιβέριος ἔσω τοῦ τείχους ἀπέ-
κλεισεν. ἔκτισε δὲ καὶ ἱερὸν τῷ Διονύσῳ πρὸς τῷ ὄρει ὁ αὐτὸς
Τιβέριος βασιλεύς, στήσας δύο στήλας μεγάλας τῶν ἐξ Ἀντιόπης
C γεννηθέντων Διοσκούρων ἔξω τοῦ ναοῦ εἰς τιμὴν αὐτῶν, Ἀμφίο-
νός τε καὶ Ζήθου. ὁ αὐτὸς Τιβέριος καὶ τὸν ποταμὸν τῆς πό-
λεως τὸν πρώην λεγόμενον Δράκοντα μετεκάλεσεν Ὀρόντην τῇ
O 303 Ῥωμαϊκῇ λέξει, ὅπερ ἑρμηνεύεται ἀνατολικός. ἔκτισε δὲ καὶ τὸ

2. ἐπιφανεστάτου] Fort. Ἐπιφανοῦς τοῦ. ibid. ὅτι καὶ τὸ βουλευτήριον] „Forte legendum, ὅτε aut ὅστις." Ch. 8. ἱερῶν Ch., ἱερέων Ox.

pars urbis, quae ad montem sita, ab illustri illo Antiocho condita est, (Senaculum nempe publicum, aliaque loca sacra,) nequaquam moenibus cincta habitabatur. Similiter etiam Antiochus Philadelphus extra urbem multa extruxit: qui et ad Daphnen, in Luco, Fana duo condidit, Apollini unum, alterum Dianae: in quibus etiam statuas duas aureas collocavit, Asylorum eis jura concedens; ut ne quis noxius, ad ea confugiens, inde extraheretur. Haec vero extructa sunt, sub Regibus Macedonicis.

Extruxit etiam Tiberius Caesar, in eadem Antiochia, templum ingens Jovi Capitolino: Balneum quoque publicum extruxit, prope fontem illum, quem olim condidit Alexander Macedo, nomenque ei dedit, a Matre sua, Olympiadem. Alexander enim eo veniens, et aquas de scaturigine illa bibens; videor (inquit) mihi lac maternum hausisse. Fons autem iste juxta montem situs est; quem et intra urbis ambitum moenibus suis Tiberius incluserat. Idem etiam Baccho fanum extruxit juxta montem; positis etiam exterius ad templum statuis duabus, Amphionis et Zethi, Dioscurorum ex Antiopa prognatorum in honorem. Fluvium etiam, urbem alluentem, qui Draco olim vocabatur, Orontem, quasi Orientalem, Romana lingua vocavit. Theatrum quoque extruxit, circumque alium

θέατρον, προσθεὶς ἄλλην ζώνην πρὸς τῷ ὄρει καὶ θυσιάσας κόρην παρθένον Ἀντιγόνην ὀνόματι· ὅθεν θέατρον οὐκ ἐπλήρωσεν εἰς τέλειον. ἔστησε δὲ ἐπάνω τῆς ἀνατολικῆς πόρτας, ἧς αὐτὸς ἔκτισε, στήλην λιθίνην τῇ λυκαίνῃ, τρεφούσῃ τὸν Ῥῶμον καὶ τὸν Ῥῆμον, σημαίνων Ῥωμαῖον εἶναι κτίσμα τοῦ προστεθέντος τείχους τῇ αὐτῇ Ἀντιόχου πόλει. ἔκτισε δὲ καὶ ὄπισθεν τοῦ θεάτρου ἱερὸν τοῦ Πανός. ταῦτα δὲ Δομνῖνος ὁ σοφὸς χρονογράφος ἐξέθετο.

Ἔκτισε δὲ ὁ αὐτὸς Τιβέριος ἐν τῇ Ἰουδαίᾳ χώρᾳ παρὰ τὴν D λίμνην πόλιν, ἥντινα ἐκάλεσε Τιβεριάδα, εὑρηκὼς ἐν τῷ τόπῳ ὕδατα θερμά, κτίσας τῇ πόλει καὶ δημόσιον λουτρὸν μὴ ὑποκαιόμενον, ἀλλ' ἐξ αὐτῶν τῶν θερμῶν παρέχοντα τὴν χρῆσιν τῇ πόλει. ἐποίησε δὲ καὶ τὴν Καππαδοκίαν ὑπὸ Ῥωμαίους μετὰ O 304 τὴν τελευτὴν Ἀρχελάου τοῦ τοπάρχου αὐτῆς.

Ἐν δὲ τοῖς χρόνοις τοῦ αὐτοῦ Τιβερίου ἐμπρησμὸς ἐγένετο ἐν Ἀντιοχείᾳ τῆς Συρίας τῷ οβ' ἔτει τῆς αὐτονομίας αὐτῆς ἐν νυκτί, ἀδήλως καύσας τὸ πλέον μέρος τῆς ἀγορᾶς καὶ τὸ βουλευτήριον καὶ τὸ ἱερὸν τῶν Μουσῶν τὸ κτισθὲν ὑπὸ Ἀντιόχου τοῦ Φιλοπάτορος ἐκ τῶν ἐαθέντων χρημάτων κατὰ διαθήκας ὑπὸ Μάρωνος Ἀντιοχέως, μετοικήσαντος εἰς τὰς Ἀθήνας καὶ E κελεύσαντος τότε ἐκ τῶν αὐτοῦ κτισθῆναι τὸ τῶν Μουσῶν ἱε-

2. ὅθεν] „Lego ὅπερ." Ch. 19. ἐκ τῶν ἐαθέν χρημάτων] „Ita habet Cod. MS. verum Librarius, mentem habens in aliis occupatam, vocabulum hoc ultima syllaba mutilavit: scribe ἐαθέντων." Ch.

priori, prope montem, adjecit; immolata etiam virgine, nomine Antigone: quod quidem opus ad exitum non perduxit. Portae etiam Orientali, a se extructae, statuam superimposuit lapideam Lupae, Romuli et Remi nutricis; nempe sic nova illa urbis moenia Romanum opus fuisse, significans. Praeterea etiam Pani templum extruxit, Theatrum a tergo respiciens. Haec vero Domninus, sapiens Chronographus, literis prodidit.

In Judaea etiam Tiberius urbem prope Lacum, extruxit, quam Tiberiadem vocavit. Aquas vero calidas ibi inveniens, Balneum etiam publicum extruxit, quod natura sua Thermarum usum urbi suppeditavit. Archelao autem fatis defuncto, Tiberius Cappadociam, ejus regnum, Romano adjecit imperio.

Tiberii hujus temporibus anno urbis sui juris factae LXXII, incendium accidit Antiochiae Syriae, quod per silentium noctis majorem Fori partem, et Senaculum consumsit. Conflagrarunt etiam eo tempore Musarum aedes, quas extruxerat Antiochus Philopator, ex pecuniis quas in hoc testamento suo legaverat Maro quidam Antiochenus: qui, mutatis sedibus, Athenas commigrans, ex facultatibus suis Musarum templum et Biblio-

ρὸν καὶ βιβλιοθήκην. ἔκτισε δὲ καὶ ὁ Τιβέριος πόλιν ἐν τῇ Θρᾴκῃ ἄλλην, ἣν ἐκάλεσε Τιβερίαν.

Τῷ δὲ ιε' ἔτει τῆς βασιλείας αὐτοῦ ἐν ὑπατείᾳ Ἀλουανοῦ καὶ Νερούα ἤρξατο ὁ ἅγιος Ἰωάννης ὁ πρόδρομος κηρύσσειν βάπτισμα μετανοίας βαπτίζειν κατὰ τὴν προφητικὴν φωνήν·
O 305 V 100 *καὶ ἀπῆλθε πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα. καὶ λοιπὸν ἀρχὴν ἐποιήσατο τοῦ σωτηρίου ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, βαπτισθεὶς ὑπὸ τοῦ αὐτοῦ Ἰωάννου τοῦ προδρόμου, γενόμενος ἐνιαυτῶν περί που λ' καὶ θαυματουργῶν. ἐβαπτίσθη δὲ ἐν τῷ Ἰορδάνῃ, ποταμῷ τῆς Παλαιστίνης, μηνὶ αὐδηναίῳ τῷ καὶ ἰανουαρίῳ ἕκτῃ, ὥρᾳ νυκτερινῇ ι', ἐν ὑπατείᾳ Ῥούφου καὶ Ῥουβελλίωνος. ἀπὸ τότε καὶ ὁ βαπτιστὴς Ἰωάννης δῆλος ἐγένετο τοῖς ἀνθρώποις· καὶ ἀπέτεμεν αὐτὸν Ἡρώδης ὁ βασιλεὺς ὁ Φιλίππου, ὁ τοπαρχῶν, ἤτοι βασιλεύων, τῆς Τραχωνίτιδος χώρας, ἐν Σεβαστῇ πόλει τῇ πρὸ η' καλανδῶν ἰουνίων ἐν ὑπατείᾳ*
B *Φλάκκωνος καὶ Ῥουφίνου διὰ Ἡρωδιάδα τὴν γυναῖκα αὐτοῦ, ὅτι ἔλεγεν αὐτῷ ὁ Ἰωάννης, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου, καθὼς ἐν ταῖς θείαις ἐμφέρεται γραφαῖς ταῦτα.*

8. *βασιλείας* Ch., *ὑπατείας* Ox. 10. *αὐδηναίῳ*] *Αὐδυναίῳ* Ox. 12. *ἀπὸ τότε* — 239. 17. *χώρας* attulit Ioannes Damascenus Oratione tertia de Imag. vol. I. p. 368. ed. Lequien. 13. *Ἡρώδης ὁ βασιλεὺς ὁ Φιλίππου ὁ τοπαρχῶν, ἤτοι βασιλεύων τῆς Τραχωνίτιδος* etc.] „Scr. *τοῦ τοπαρχοῦντος, ἤτοι βασιλεύοντος τῆς Τραχωνίτιδος*. Herodes enim Tetrarcha Galilaeam; Philippus autem, frater ejus, Ituream et Trachonitidem regionem, sibi subjectas habuerunt; uti apparet ex Sacris literis, Luc. 3. cap. 1.“ Ch. *ibid. ὁ βασιλεὺς — βασιλεύων*] *ὁ τοπάρχης εἰς τὸ βασίλειον* Ioannes. In sequentibus Malalam erroribus frustra liberare student Ch. et Wesselingius ad Hieroclem p. 719. 15. *πόλει τῇ*] *τῇ πόλει* Ioannes. 16. *Φλάκκωνος* Ioannes, *Φλάκωνος* Ox. *διὰ* — p. seq. v. 1. *λυπούμενος* om. Ioannes. 18. *θείαις*] Lucae cap. III.

thecam extrui jusserat. Tiberius autem urbem quoque aliam in Thracia condidit, quam Tiberiam appellavit.

Anno autem xv imperantis Tiberii, Albano et Nerva Coss. S. Joannes Praecursor Baptismum Resipiscentiae praedicare coepit et baptizare: ac a Prophetis praedictum fuerat. Exibat autem ad eum omnis Judaea regio: tum demum primordia salutis Humanae statuit D. N. Jesus Christus, ab eodem Joanne Praecursore baptisatus, cum annum ageret xxx, aut eo circiter, miracula tum primum faciens. Baptizatus autem fuit in Jordane, Palaestinae fluvio, Mensis Audynaei, sive Januarii vi, ad horam noctis x, Rufo et Rubellione Coss. Ex eo tempore innotescere hominibus coepit Joannes Baptista; cui rex Herodes, frater Philippi, regis Trachonitidis, caput amputavit, in urbe Sebaste, viii Kal. Junias, Flaccone et Rufino Coss. propter uxorem Herodiadem. Dixerat enim Herodi Joannes; Non licet tibi fratris tui uxorem habere: uti haec in sacris

καὶ λυπούμενος διὰ τὸν Ἰωάννην ὁ αὐτὸς βασιλεὺς Ἡρώδης ὁ δεύτερος ὁ Φιλίππου ἀνῆλθεν ἀπὸ τῆς πόλεως Σεβαστῆς ἐν Πανεάδι πόλει τῆς Ἰουδαίας. καὶ προσῆλθεν αὐτῷ γυνή τις εὐπορωτάτη, οἰκοῦσα τὴν αὐτὴν Πανεάδα πόλιν, ὀνόματι Βερονίκη, βουλομένη ὡς ἰαθεῖσα ὑπὸ τοῦ Ἰησοῦ στήλην αὐτῷ ἀναστῆσαι. O 306
καὶ μὴ τολμῶσα δίχα βασιλικῆς κελεύσεως τοῦτο ποιῆσαι, δέησιν ἐπέδωκε τῷ αὐτῷ Ἡρώδῃ βασιλεῖ, αἰτοῦσα ἀναστῆσαι στήλην τῷ σωτῆρι Χριστῷ ἐν τῇ αὐτῇ πόλει. ἥτις δέησις ἔχει οὕτως.

Σεβαστῷ Ἡρώδῃ τοπάρχῃ καὶ θεσμοδότῃ Ἰουδαίων τε καὶ C
Ἑλλήνων, βασιλεῖ τῆς Τραχωνίτιδος χώρας, ἱκεσίας δεήσεις παρὰ Βερονίκης, ἀξιωματικῆς πόλεως Πανεάδος. δικαιοσύνη καὶ φιλανθρωπία καὶ αἱ λοιπαὶ τῶν ἀρετῶν πασῶν περιστέφουσι τὴν ὑμετέραν θείαν κορυφήν. ὅθεν κἀγὼ ταῦτα εἰδυῖα ἧκον σὺν ἀγαθαῖς ταῖς ἐλπίσι πάντως τῶν αἰτουμένων τευξομένη. τίς δὲ ἡ τοῦ παρόντος προοιμίου κρηπὶς προϊὼν ὁ λόγος σε διδάξει. ἐκ παιδόθεν ληφθεῖσα πάθει αἱμοῤῥοίας ὀχετῶν εἰς ἰατροὺς κατανάλωσά μου τὸν βίον καὶ τὸν πλοῦτον, καὶ ἴασιν οὐχ ηὗρον.

1. καὶ λυπούμενος etc.] διὰ τοῦτο λυπούμενος ὁ Ἡρώδης ὁ βασιλεὺς ὁ Φ. Ioannes. 2. πόλεως — Ἰουδαίας] Ἰουδαίας Ioannes. 3. εὐπορωτάτη] εὔπορος Ioannes. 4. Βερονίκη] Βερνίκη Ioannes semper. 7. ἐπέδωκε τῷ αὐτῷ] δέδωκε τῷ Ioannes. ibid. αἰτοῦσα στήλην χρυσῆν τῷ σ. Χ. ἐν τῇ ἑαυτῆς πόλει στῆσαι Ioannes. 8. ἔχει] εἶχεν Ioannes. 9. καὶ θεσμοδότῃ] θεσμοθέτῃ Ioannes. 10. τῆς et χώρας om. Ioannes. ibid. ἱκεσίας δεήσεις] δέησις καὶ ἱκεσία Ioannes, ut scribendum sit ἱκεσία καὶ δέησις. 12. αἱ λοιπαὶ] τὰ λοιπὰ Ioannes, omisso πασῶν. 13. ὑμετέραν Ch., Ioannes, ἡμετέραν Ox. ibid. ταῦτα] τοῦτο Ioannes. 14. πάντως τῶν αἰτουμένων] πάντων Ioannes et, omisso ἧκον, τευξομένη σοὶ γράφω. ibid. τίς δὲ] ἥτις et mox προϊών σε ὁ λόγος Ioannes. 16. ἐκ παιδόθεν] ἐκ παίδων Ioannes et mox εἰς ἰατροὺς ἀναλώσασα — ἴασιν οὐχ εὗρον.

Literis enarrantur. Herodes autem rex, ejus nominis secundus, Philippi frater, ob Joannem contristatus, Sebaste relicta, Paneadem, Judaeae urbem, se recepit. Accessit autem ad eum, ejusdem urbis incola, mulier quaedam opulenta, nomine Veronica. Huic in animo erat, statuam erigere Jesu in honorem, qui eam a morbo liberaverat. At hoc non ausa facere, nisi prius impetrata regis venia, libellum supplicem Herodi obtulit, Christo Salvatori statuam in ea urbe erigendi licentiam petens. Libellus autem iste sic se habet.

Augustissimum Herodem, Toparcham, Judaeis pariter et Gentibus Legislatorem, Trachonitidis Regem, Veronica, honorabilis urbis Paneadis incola, humillime precatur.

„Justitia, et erga homines benignitas, et quodcunque est virtutum omnium, divinum caput vestrum, ceu corona cingunt. Quod ego neutiquam ignorans, ad te accedo; spem optimam concipiens vota mea omnino obtinendi. Quid vero sibi vult haec Praefatiuncula, sequens te docebit oratio: Ego quidem ab aetate puerili fluxu sanguinis laborans, fa-

ἀκηκουῖα δὲ τοῦ θαυμαζομένου Χριστοῦ τὰ ἰάματα, ὃς νε-
κροὺς ἐξανίστησι καὶ τυφλοὺς πάλιν εἰς φάος ἕλκων καὶ δαίμο-
D νας ἐκ βροτῶν ἀπελαύνων καὶ πάντας τοὺς ἐν νόσοις μαραινο-
O 307 μένους λόγῳ θεραπεύει, πρὸς αὐτὸν οὖν κἀγὼ ὡς πρὸς θεὸν
ἔδραμον. καὶ προσεσχηκυῖα τὸ περιέχον αὐτὸν πλῆθος, δειλιά-
σασα δὲ ἐξειπεῖν αὐτῷ καὶ τὴν ἀήττητόν μου νόσον, μή πως τὸν
μολυσμὸν τοῦ πάθους ἀποστρεφόμενος ὀργισθῇ κατ' ἐμοῦ καὶ
πλέον μοι ἐπέλθῃ ἡ πληγὴ τῆς νόσου, κατ' ἐμαυτὴν ἐλογισάμην
ὅτι εἰ δυνηθείην ἅψασθαι τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ,
πάντως ἰαθήσομαι· καὶ λάθρᾳ εἰς τὸ περὶ αὐτὸν εἰσδύνασα πλῆ-
θος ἐσύλησα τὴν ἴασιν, τοῦ κρασπέδου αὐτοῦ ἁψαμένη· καὶ στα-
λείσης μου τῆς πηγῆς τοῦ αἵματος γέγονα παραχρῆμα ὑγιής. αὐτὸς
E δὲ μᾶλλον, ὡς προγνοὺς τῆς ἐμῆς καρδίας τὸ βούλευμα, ἀνέκραξε,
Τίς μου ἥψατο; δύναμις γὰρ ἐξῆλθεν ἀπ' ἐμοῦ. ἐγὼ δὲ ὠχριῶσα καὶ
στένουσα, τὴν νόσον θρασυτέραν ὑποστρέφειν ἐπ' ἐμὲ λογιζομένη,
προσπεσοῦσα αὐτῷ τὴν γῆν ἐπλήρωσα δακρύων, τὴν τόλμαν ἐξει-
ποῦσα. ὁ δὲ ὡς ἀγαθὸς σπλαγχνισθεὶς ἐπ' ἐμοὶ ἐπεσφράγισέ μοι τὴν
V 101 ἴασιν, εἰρηκώς, Θάρσει, θυγάτερ, ἡ πίστις σου σέσωκέ σε· πο-

1. ὃς] ὡς Ioannes et διανίστησι — φῶς. 3. νόσοις] νόσῳ — θεραπεύων, κἀγὼ πρὸς αὐτὸν Ioannes. 5. τῷ περιέχοντι πλήθει Ioannes. Idem, omissis δὲ — νόσον, μὴ τὸν ἐκ τοῦ πάθους μολυσμόν. 8. πλέον] πλείων Ioannes. ibid καθ' Ox., καθ' ἑαυτὴν Ioannes, qui paullo ante καθ' ἐμοῦ. 9. εἰ] ἐὰν Ioannes. Idem αὐτοῦ, σωθήσομαι· οὗ καὶ ἁψαμένη. 11. σταλείσης] σταθείσης Ioannes. 13. τὰ βουλεύματα Ioannes. 14. δύναμις ἀπ' ἐμοῦ ἐξῆλθεν. ἐγὼ οὖν ὠχριάσασα — ἀποστρέφειν Ioannes. 17. ὁ] αὐτὸς — ἐπ' ἐμοὶ ἐπεσφράγιζέ μου Ioannes. Correxi Ox. ἐμὲ.

cultates meas omnes, et fortunas in medicos profudi; remedium vero inveni nullum. Ubi vero ad me pervenisset Christi illius fama, qui in Miraculis tantus erat, ut mortuos resuscitare, visum coecis restituere, daemonas e mortalium corporibus ejicere, quoscunque denique morbos verbo solo sanare potuerit; ipsa quoque ad illum, tanquam Numen confugi. Turbam autem animadvertens circumstantem, verebar illi morbum meum insanabilem enarrare; ne forte spurcitiem mali aversatus, ira in me commoveretur; et morbus me inde saevior affligeret. Mecum igitur in animo reputans, quod si liceret vel fimbriam vestimenti attingere, statim convalescerem, occulte memet turbae immiscebam; et fimbria ejus tacta, medelam suffurata sum, substitit enim sanguinis mei fluxus, et protinus sanata fui: ille vero cordis mei consilia praesentiscens, elata voce, Quis, inquit, me tetigit? Virtus enim ex me prodiit. Ego vero pallore suffusa, ingemiscens; reverita, ne in me repetitis viribus grassaretur morbus; ad pedes ejus provoluta, et terram lachrymis complens, audaciam meam profitebar. At ille, pro benignitate sua mei misertus, praestitam mihi valetudinem corroboravit, hoc dicto: Confide filia, fides tua te salvam

ϱιόου εἰς εἰϱήνην. οὕτως καὶ ὑμεῖς, σεβαστοί, τὴν δέησιν ὀξεῖαν O 308 τῇ δεομένῃ παϱάσχετε.

Ὁ δὲ βασιλεὺς Ἡϱώδης ἀκηκοὼς ταῦτα διὰ τῆς δεήσεως ἐξεπλάγη διὰ τὸ θαῦμα· καὶ φοβηθεὶς τὸ μυστήϱιον τῆς ἰάσεως εἶπεν, Αὕτη ἡ εἰς σὲ γενομένη ἴασις, ὦ γύναι, μείζονος στήλης ἐστὶν ἀξία. ποϱευθεῖσα τοίνυν οἵαν βούλει ἀνάστησον αὐτῷ στήλην, πϱοθέσει δοξάζουσα τὸν ἰασάμενον.

Καὶ εὐθέως ἡ αὐτὴ Βεϱονίκη, ἡ πϱώην αἱμόῤῥους, ἐν μέσῳ τῆς ἰδίας αὐτῆς πόλεως Πανεάδος ἀνέστησε τῷ κυϱίῳ ἡμῶν καὶ θεῷ Ἰησοῦ Χϱιστῷ στήλην χαλκῆν ἐκ χαλκοῦ θεϱμηλάτου, συμμίξασα βϱαχύ τι μέϱος χϱυσοῦ καὶ ἀϱγύϱου. ἥτις στήλη μένει ἐν Πανεάδι πόλει ἕως τῆς νῦν, πϱὸ πολλοῦ χϱόνου B μετενεχθεῖσα ἀφ' οὗ ἵστατο ἐν μέσῳ τῆς πόλεως τόπου εἰς ἅγιον εὐκτήϱιον οἶκον. ὅπεϱ ὑπόμνημα ηὗϱον ἐν τῇ αὐτῇ Πανεάδι πόλει παϱὰ Βάσσῳ τινί, γενομένῳ ἀπὸ Ἰουδαίων χϱιστιανῷ. ἐν οἷς ὑπῆϱχεν ὁ βίος πάντων τῶν βασιλέων τῶν βασιλευσάντων πϱώην τῆς Ἰουδαϊκῆς χώϱας.

Ὁ δὲ αὐτὸς βασιλεὺς Ἡϱώδης ὁ Φιλίππου γενόμενος ἐμπληθὴς ἐκϱίνετο ἐπὶ μῆνας η'. καὶ ἐσφάγη ἐν τῷ κουβικλείῳ O 309

1. οὕτως] οὕτω Ioannes. ibid. τῇ δεομένῃ ἀξίαν Ioannes. 4. διὰ emisit Ioannes. 5. αὕτη et mox πϱοθέσει om. Ioannes. 8. ἡ αὐτὴ] αὐτὴ Ioannes et mox αἱμοῤῥοοῦσα. 9. τῷ — Χϱιστῷ] τῷ θεῷ καὶ κυϱίῳ Ioannes. Idem postea μίξασα χϱυσὸν καὶ ἄϱγυϱον. 10. ἐκ χαλκοῦ θεϱμελάτου] „Scr. θεϱμηλάτου, uti habet Damascenus.“ Ch. 12. πόλει] τῇ πόλει Ioannes et mox ἕως νῦν οὐ πϱὸ πολλοῦ. 13. τόπου — οἶκον] εἰς ἅγιον τόπον εἰς οἶκον εὐκτήϱιον Ioannes. 14. ηὗϱον] εὑϱέθη ἐν τῇ πόλει Πανεάδι Ioannes. 16. οἷς] ᾧ Ioannes, sic pergens βίος τῶν βασιλευσάντων πάντων τῆς etc. 19. ἐκϱίνετο] ἐκλίνετο Ch.

fecit: Vade in pace. Similiter et vos, Augustissimi, uti voto meo annuatis, obnixe peto.“

Haec ubi ex libello supplici intellexisset Herodes, ad famam miraculi attonitus stetit; mysterium curationis horrescens, petenti respondit: „Haec in te, O Mulier, facta sanatio, maximi sane digna est monumenti. Abi igitur, et statuam ei erige qualem vis, honorem optatum illi exhibens, qui te sanam reddidit.“

Statim itaque Veronica, quae antehac Haemorrhusa fuerat, in media urbe sua Paneade, Domino Deoque Nostro Jesu Christo, statuam erexit, ex aere ductili conflatam, auri etiam aliquantulum et argenti admiscens. Quae quidem statua adhuc visitur in urbe Paneade, jam olim, ab eo loco ubi stetit, urbis in meditullio, translata in sanctam Aedem Oratoriam. Monumentum vero hoc inveni, in dicta urbe Paneade, apud Bassum quendam, qui a Judaismo ad Christianismum transierat; qui in eodem etiam libro antiquorum Judaeae regum omnium res gestas conscriptas habuit.

Idem Rex Herodes, Philippi frater, ex repletione aegrotans, decu-

αὐτοῦ μετὰ τοὺς η' μῆνας συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ, καθὼς ὁ σοφώτατος Κλήμης συνεγράψατο.

C Τῷ δὲ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας τοῦ αὐτοῦ Τιβερίου Καίσαρος καὶ μηνὶ τῷ ζ', γενόμενος ἐνιαυτῶν περί που λγ' ὁ Ἰησοῦς Χριστός, ὁ θεὸς ἡμῶν, παρεδόθη ὑπὸ Ἰούδα Ἰσκαριώτου, μαθητοῦ αὐτοῦ, ὁ αὐτὸς κύριος καὶ σωτὴρ ἡμῶν, μηνὶ δύστρῳ τῷ καὶ μαρτίῳ κγ', τῆς σελήνης ἐχούσης ἡμέραν ιγ'· ἦν δὲ ἡμέρα πέμπτη, ὥρα νυκτερινὴ πέμπτη. καὶ ἀπηνέχθη πρὸς τὸν Καϊάφαν ἀρχιερέα, κἀκεῖθεν ἐξεδόθη Ποντίῳ Πιλάτῳ ἡγεμόνι· καὶ εὐθέως ἡ γυνὴ τοῦ αὐτοῦ Πιλάτου Πρόκλα ἐδήλωσεν αὐτῷ, Μηδὲν σοὶ καὶ τῷ δικαίῳ τούτῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. καὶ γνόντες τοῦτο οἱ Ἰουδαῖοι, ἐστασίαζον κράζοντες, Ἆρον, ἆρον, σταύρωσον αὐτόν. καὶ ἐσταυρώθη κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῇ πρὸ η' καλαν-
D δῶν ἀπριλλίων, μηνὶ μαρτίῳ κδ', τῆς σελήνης ἐχούσης ἡμέραν
O 310 ιδ'· ἦν δὲ ἡμερινὴ ὥρα ἕκτη, τῆς ἡμέρας οὔσης παρασκευῆς. καὶ ἐσκοτίσθη ὁ ἥλιος, καὶ ἦν εἰς τὸν κόσμον σκότος· περὶ οὗ σκότους συνεγράψατο ὁ σοφώτατος Φλέγων ὁ Ἀθηναῖος εἰς τὴν ἰδίαν αὐτοῦ συγγραφὴν ταῦτα. Τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Τιβερίου Καίσαρος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη πλέον τῶν ἐγνωσμένων πρότερον· καὶ νὺξ ὑπῆρχεν ὥρᾳ ἕκτῃ τῆς ἡμέρας, ὥστε καὶ τοὺς ἀστέρας φαίνεσθαι.

17. ἥλιος Ch., ἤλιος Ox. 20. πλέον om. Chron. Pasch. p. 219. C, Syncellus p. 325. A. Fort. πασῶν.

buit, per spatium VIII mensium: quibus exactis, in cubiculo suo, conscia etiam uxore, occisus est: sicut sapientissimus Clemens scriptis prodidit.

Anno autem XVIII, et mense VII, Imperantis Tiberii, Jesus Christus Deus et Servator Noster, annos circiter XXXIII natus, a Juda Iscariota, discipulo suo, proditus est; Martii XXIII, die Lunae, feria V, hora nocturna V. Abductus vero fuit ad Caiapham, Pontificem Maximum: exinde autem Pontio Pilato Praesidi traditus fuit. Procla vero Pilati uxor, misso statim nuncio, eum monuit, ne quid tentaret adversus justum illum hominem: „Multa enim, inquit, hodie per somnium passa sum propter eum. Judaei vero, hoc cognito, tumultuantes exclamarunt: *Tolle, Tolle; Crucifige eum.* Crucifixus est itaque D. N. Jesus Christus VIII Kal. Apriles, Martii XXIV, die Lunae XIV, hora die VI, cum esset Parasceve, sive, dies Praeparationis. Sol vero lumine orbatus est, et tenebrae factae sunt super terram universam. Harum autem tenebrarum in scriptis suis meminit sapientissimus Phlegon Atheniensis, hisce verbis. „Anno regni Tiberii Caesaris decimo octavo, Eclipsis solis erat maxima, qualem priora secula videre nullam. Hora enim diei sexta nox erat tanta, ut etiam stellae apparerent.“

Ὁ δὲ κύριος Ἰησοῦς Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἔδωκε τὸ πνεῦμα τῇ αὐτῇ παρασκευῇ, ὥρα ἦν ὡς θ'. καὶ εὐθέως ἐγένετο εἰς πάντα τὸν κόσμον σεισμὸς μέγας καὶ τάφοι [E] ἀνεῴχθησαν καὶ πέτραι ἐσχίσθησαν καὶ νεκροὶ ἀνέστησαν, καθὰ ἐν ταῖς θείαις γραφαῖς ἐμφέρεται πάντα μετὰ ἀληθείας· ὥστε λέγειν τοὺς Ἰουδαίους, Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος, ὃν ἐσταυρώσαμεν.

Καὶ ἐτάφη ὁ Ἰησοῦς Χριστὸς ὥραν δεκάτην τῆς αὐτῆς παρασκευῆς ἡμέρας, ἐν ὑπατείᾳ Σουλπικίου καὶ Σῶλα, τοῦ ἑβδομηκοστοῦ ἐνάτου ἔτους χρηματίζοντος κατὰ Ἀντιόχειαν τὴν μεγάλην, ἡγεμονεύοντος δὲ τότε τῆς Συρίας Κασσίου, τοῦ καὶ προα- [V 102] χθέντος ὑπὸ τοῦ αὐτοῦ Τιβερίου Καίσαρος.

Ἀνέστη δὲ ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς μηνὶ δύστρῳ [O 311] τῷ καὶ μαρτίῳ κε', ὥρᾳ νυκτερινῇ δεκάτῃ, ἐπιφωσκούσης ἡμέρας κυριακῆς, τοῦ αὐτοῦ μαρτίου μηνὸς ἕκτης εἰκάδος, ἐχούσης τῆς σελήνης ἡμέραν ἑξκαιδεκάτην, καὶ ἐφάνη τοῖς ἀποστόλοις καὶ ἄλλοις ἁγίοις πολλοῖς καὶ συνανεστράφη αὐτοῖς ἐπὶ τῆς γῆς μετὰ τὴν ἀνάστασιν ἡμέρας μ'. καὶ ἀνελήφθη εἰς τοὺς οὐρανοὺς ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς μηνὶ ἀρτεμισίῳ τῷ καὶ μαΐῳ δ', ὥρᾳ ἡμερινῇ β', ἡμέρᾳ ε', τῶν ἁγίων ἀποστόλων ὁρώντων καὶ πολλοῦ πλήθους ἄλλου πῶς ὑπὸ νεφελῶν ἀνελήφθη, καὶ τῶν ἁγίων ἀγγέλων λεγόντων, Τί ἀτενίζετε εἰς [B] τοὺς οὐρανούς, Γαλιλαῖοι ἄνδρες; οὗτός ἐστιν ὁ Ἰησοῦς.

8. ὥραν] ὥρᾳ Ch. *ibid.* δεκάτην] δεκάτῃ Ox. 9. Σῶλα] Scribe Σύλλα. 10. ἐννάτου Ox. 16. ἑξκαιδεκάτην Ch., ἑξκαιδεκάτῃ Ox.

Dominus vero noster Jesus Christus filius Dei viventis circiter ejusdem Parasceves horam IX animam efflavit. Protinus per totum orbem terrae motus ingens exortus est, sepulchra etiam aperta sunt et rupes dissilierunt, mortuique resurrexerunt: adeo ut Judaei ipsi dicerent; *Dei certe filius erat, quem crucifiximus*: uti haec omnia in S. Scripturis verissime tradita habemus.

Hora vero X ejusdem diei sepultus est Jesus Christus, Sulpitio et Sylla Coss. anno Aerae Antiochenae LXXIX, Syriam tum procurante Cassio, quem Tiberius Caesar regioni ei praefecerat.

Resurrexit vero Dominus Deus noster Jesus Dystri, sive Martii Mensis XXV, hora noctis X, illucescente ejusdem Martii XXVI, qui dies erat Dominicus; die vero Lunae XVI Apostolis etiam suis aliisque sanctis pluribus visus est; cum quibus etiam conversatus est, post resurrectionem suam, per dies XL. Artemisii vero, sive Maii mensis IV, hora diei II, feria V, in coelum assumptus est Dominus Deus Noster Jesus Christus, S. Apostolis, turbaque alia magna, una videntibus illum per nubes in Coelos receptum; Sanctis Angelis interim dicentibus: „Viri Galilaei, quid intentos oculos in Coelum habetis?" Iste Jesus est etc.

Καὶ κατῆλθε τὸ ἅγιον καὶ ζωοποιὸν πνεῦμα εἰς τοὺς ἁγίους αὐτοῦ ἀποστόλους μηνὶ ἀρτεμισίῳ τῷ καὶ μαΐῳ ιδ', ἡμέρᾳ κυριακῇ, ὥραν γ' ἡμερινήν, ἡγεμονεύοντος τῆς Ἰουδαίας τοῦ αὐτοῦ Ποντίου Πιλάτου· ὅστις προεβλήθη ἄρχειν τοῦ ἔθνους ὑπὸ τοῦ αὐτοῦ Τιβερίου Καίσαρος, τοῦ καταλύσαντος τὴν βασιλείαν τῶν Ἰουδαίων καὶ προχειρισαμένου αὐτοῖς ἄρχοντα ὃν ἠβουλήθη αὐτός, ἀρχιερευόντων δὲ τοῦ Ἰουδαϊκοῦ ἔθνους Ἄννα καὶ Καϊάφα.

Μετὰ δὲ ἔτη τέσσαρα τῆς ἀναστάσεως καὶ ἀναλήψεως τοῦ
O 312 σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπὶ τῆς βασιλείας τοῦ αὐτοῦ
C Τιβερίου Καίσαρος, μετὰ τὸ ἐξελθεῖν τὸν ἅγιον Παῦλον ἀπὸ Ἀντιοχείας τῆς μεγάλης, κηρύξαντα ἐκεῖ πρῶτον τὸν λόγον ἐν τῇ ῥύμῃ τῇ πλησίον τοῦ Πανθέου τῇ καλουμένῃ τῶν Σίγγωνος ἅμα Βαρνάβᾳ, καὶ ἐπὶ τὴν Κιλικίαν ἐξελθεῖν, ὁ Πέτρος ἀπὸ Ἱεροσολύμων ἐν τῇ αὐτῇ Ἀντιοχείᾳ παρεγένετο καὶ τὸν λόγον ἐδίδασκε. καὶ ἐκεῖ αὐτὸν ἐνθρονίσας, πεισθεὶς τοῖς ἀπὸ Ἰουδαίων γενομένοις χριστιανοῖς, τοὺς ἐξ ἐθνῶν πιστοὺς οὐκ ἐδέξατο οὔτε ἠγάπα, ἀλλ' οὕτως ἐάσας αὐτοὺς ἐξῆλθεν ἐκεῖθεν. ὁ δὲ ἅγιος Παῦλος μετὰ ταῦτα ἐλθὼν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, καὶ μαθὼν ταῦτα περὶ τοῦ ἁγίου Πέτρου, πανταχοῦ τὸ σκάνδαλον περιεῖλε καὶ πάντας
D ἴσως ἐδέξατο καὶ ἠγάπα, προτρεπόμενος ἅπαντας, καθὼς συνεγράψαντο ταῦτα οἱ σοφώτατοι Κλήμης καὶ Τατιανὸς οἱ χρονογράφοι.

6. προχειρισαμένου Ch., προχειρισάμενον Ox. 12. Σίγγωνος Ox. 13. Βαρνάβα Ox. 20. ἴσως Ch., εἴσως Ox.

Mensis autem Artemisii, sive Maii xiv, die Dominico, hora diei iii, Spiritus Sanctus et vivificus, in Sanctos ejus Apostolos descendit; Judaeam tum procurante dicto Pontio Pilato; qui, post dissolutum a Tiberio Caesare Judaeorum regnum, ab eodem, Praesides pro arbitratu suo ubique constituente, huic Genti praefectus fuerat; sub Pontificatu vero Annae et Caiphae.

Eodem autem regnante Tiberio Caesare, quatuor post annis quam salvator noster Jesus Christus, surrectus a Mortuis, in Coelum assumptus fuerat, (quo etiam tempore Paulus in Ciliciam transmigraverat, relicta Antiochia magna, ubi verbum Dei primus cum Barnaba, praedicaverat, prope Pantheum, in vico Singonio:) eo, inquam, tempore Petrus ab Hierosolymis discedens, Antiochiam venit: ubi promulgato Evangelio, Episcopi munus suscepit. Christianorum vero, qui ex Judaeis facti fuerant, persuasionibus adductus, qui ex Ethnicis erant fideles, non recepit; sed eorum nulla ratione habita, inde discessit. Divus autem Paulus Antiochiam magnam reversus, et de his certior factus; scandalum hoc ubique de medio sustulit, omnesque sine discrimine amplexus, ad salutem perducere conatus est: uti haec Clemens et Tatianus sapientissimi Chronographi literis prodiderunt.

Ὁ δὲ Τιβέριος βασιλεὺς τελευτᾷ ἰδίῳ θανάτῳ ἐν τῷ παλατίῳ, ὢν ἐνιαυτῶν οη΄.

Μετὰ δὲ τὴν βασιλείαν Τιβερίου Καίσαρος ἐβασίλευσεν Ἤλιος Γάϊος ὁ καὶ Καλιγουλᾶς, ὃς ἔσχε φόβον πολὺν πρὸς ἅπαντα τὰ τῶν βαρβάρων ἔθνη πρὸ τοῦ βασιλεῦσαι· καὶ διὰ τοῦτο ἡ σύγκλητος βασιλέα ἀνηγόρευσεν αὐτόν. ἐβασίλευσε δὲ O 313
ἐπὶ τῆς ὑπατείας Γάλλου καὶ Νοννιανοῦ, καὶ ἐκράτησεν ἡ βασιλεία αὐτοῦ ἔτη δ΄ καὶ μῆνας ἑπτά. ἦν δὲ εὐμήκης, εὔθετος, λεπτοχαράκτηρος, εὔχρους, ἀρχιγένειος, ἁπλόθριξ, μικρόφθαλμος, περίγοργος, ὀργίλος, μεγαλόψυχος. ἐν δὲ τῷ πρώτῳ ἔτει E
τῆς βασιλείας αὐτοῦ ἔπαθεν ὑπὸ θεομηνίας Ἀντιόχεια ἡ μεγάλη μηνὶ δύστρῳ τῷ καὶ μαρτίῳ κγ΄ περὶ τὸ αὖγος τὸ δεύτερον αὐτῆς πάθος τοῦτο τὸ μετὰ τοὺς Μακεδόνας, ἔτους χρηματίζοντος πε΄ κατὰ τοὺς Ἀντιοχεῖς. ἔπαθε δὲ καὶ μέρος Δάφνης· καὶ πολλὰ χρήματα παρέσχεν ὁ βασιλεὺς Γάϊος τῇ αὐτῇ πόλει καὶ τοῖς ζήσασι πολίταις. καὶ ἔκτισεν ἐκεῖ δημόσιον λουτρόν, πλησίον τοῦ ὄρους Γαΐου Καίσαρος, πέμψας ἀπὸ Ῥώμης ἐν αὐτῇ Ἀντιο- V 103
χείᾳ, ἵνα κτίσῃ τὸ δημόσιον λουτρόν, Σαλιανὸν ἔπαρχον· ὅστις καὶ ἀγωγὸν ἐποίησε μέγαν ἀπὸ Δάφνης γλύψας τὸ ὄρος καὶ ἀγαγὼν τὰ ὕδατα ἐν τῷ κτισθέντι παρ' αὐτοῦ δημοσίῳ λουτρῷ. ἔκτισε δὲ καὶ ἱερά.

Ἀπέστειλε δὲ ὁ αὐτὸς Γάϊος Καῖσαρ καὶ δύο συγκλητικοὺς O 314
ἄλλους πάλιν ἀπὸ Ῥώμης πλουσιωτάτους, ὧντινων τὰ ὀνόματα

4. Καλλιγουλᾶς Ox. 8. εὐμήχης Ox.

Tiberius autem naturae cedens, diem suum obiit in Palatio, annos natus LXXVIII.

Tiberium in imperio excepit Aelius Caius Caligula. Hic privatus adhuc, Barbaris gentibus terrori fuit maximo: itaque et Senatus eum imperatorem designavit, Gallo et Nonniano Coss. imperavit vero annos IV, et menses VII. Erat autem procerus, membris bene compositis, facie tenui, colore pulchro, lanuginem primam emittens, capillitio molli et demisso, oculis parvis, ingenio acri, iracundus et magnanimus. Hujus Imperantis anno primo Antiochia Magna, una cum parte aliqua suburbii Daphnaei, divinam iram secundo post tempora Macedonum, passa est, mensis Dystri, sive Martii XXIII, matutino tempore, Aerae Antiochenae anno LXXXV. Itaque ingentes pecuniarum largitiones in urbem incolasque superstites Caius Imperator erogavit. Balneum quoque publicum extruxit, prope montem C. Caesaris; a Roma Antiochiam misso, qui opus hoc effectum daret, Saliano Praefecto: qui, monte absciso, magnum ibi Aquaeductum condidit, per quem aquas ex Daphne in Balneum hoc novum introduxit. Templa etiam quaedam extruxit.

Misit praeterea Caius Caesar duos etiam alios Senatores Romanos praedivites, Pontoum et Varium, qui Antiochiae prospicerent, et non se-

ταῦτα, Πόντοος καὶ Οὐάριος, ἐπὶ τὸ καὶ φυλάττειν τὴν πόλιν καὶ
κτίσαι αὐτὴν ἐκ τῶν φιλοτιμηθέντων ὑπὸ τοῦ αὐτοῦ βασιλέως,
ὡσαύτως δὲ καὶ ἐκ τῶν ἰδίων αὐτῶν παρασχεῖν τῇ αὐτῇ πόλει καὶ
B οἰκεῖν ἐν αὐτῇ. οἵτινες πολλὰ πάνυ οἰκήματα ἐκ τῶν ἰδίων ἔκτι-
σαν· πρὸς δὲ τοῖς οἰκήμασι καὶ ἄλλα πάλιν ἔκτισαν οἱ αὐτοὶ συγ-
κλητικοὶ ἐν τῇ αὐτῇ Ἀντιόχου πόλει ἐκ τῶν ἰδίων αὐτῶν χρημά-
των, δημόσιον λουτρὸν μέγα τὸ λεγόμενον Οὐάριον κάτω παρὰ τὸ
τεῖχος πλησίον τοῦ ποταμοῦ, ἔνθα καὶ τὰ οἰκήματα αὐτῶν ἔκτι-
σαν πλησίον τοῦ δημοσίου, καὶ Τρίνυμφον εὐπρεπέστατον πάνυ,
κοσμήσαντες αὐτὸ ἀγάλμασιν εἰς τὸ γαμοστολεῖσθαι τὰς πολίτι-
δας παρθένους πάσας. καὶ ἐκ τῶν δὲ φιλοτιμηθέντων ἀνήγει-
ραν πολλὰ κτίσματα ἐν αὐτῇ τῶν Ἀντιοχέων πόλει· καὶ ἔμειναν
οἰκοῦντες ἐν αὐτῇ τῇ πόλει οἱ αὐτοὶ συγκλητικοί. καὶ τοὺς ὑπο-
λειφθέντας δὲ κτήτορας ἀξίαις ἐτίμησεν ὁ αὐτὸς Γάϊος Καῖσαρ.
C Ἀπὸ δὲ τοῦ πρώτου ἔτους Γαΐου Καίσαρος παῤῥησίαν λαβὸν
O 315 παρ' αὐτοῦ τὸ Πράσινον μέρος ἐδημοκράτησεν ἐν τῇ Ῥώμῃ καὶ
κατὰ πόλιν ἐπὶ ἔτη γ' ἄχρι τῆς βασιλείας αὐτοῦ· ἔχαιρε γὰρ αὐ-
τοῖς. τῷ δὲ τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἔκραξαν ἐν Ἀντιο-
χείᾳ τῆς Συρίας οἱ ἐκ Βενέτου μέρους τῆς αὐτῆς πόλεως τοῖς
αὐτόθι Πρασίνοις ἐν τῷ θεάτρῳ, Καιρὸς ἀνάγει καὶ κατάγει,
Πράσινοι μάσχοι, θεωροῦντος τότε τοῦ Προνοΐου, ἄρχοντος ὑπα-
τικοῦ. καὶ ἐγένετο δημοτικὴ ἀταξία μεγάλη καὶ συμφορὰ τῇ πό-
λει συνέβη· οἱ γὰρ Ἀντιοχεῖς Ἕλληνες μετὰ τῶν αὐτόθι Ἰου-
δαίων συμβαλόντες δημοτικὴν μάχην ἐφόνευσαν πολλοὺς Ἰου-

lum ex iis quae Imperator Antiochenis abunde largitus est, sed ex propriis etiam sumptibus urbem instaurarent, instauratamque incolerent. Duo itaque Senatores hi quamplurima per urbem domicilia, propriis ex sumptibus, aedificarunt: insuper etiam inferius ad urbis moenia, juxta fluvium, Balneum ingens publicum, Varium vocatum, extruxerunt; proxime quod aedes etiam privatas suas extructas habuerunt. Trinymphum quoque, statuis hinc inde splendidissime ornatum, condiderunt; uti virginibus Antiochenis quibuscunque, nuptialia sua celebrantibus, inserviret. Sed et alia etiam per urbem plurima aedificia, Imperatoriis ex sumptibus, erexerunt dicti duo Senatores, urbemque ita instauratam incoluerunt: Cives vero superstites, Caius Caesar etiam honoribus auxit.

Favebat autem Caius Caesar factioni Prasinae: itaque ea, licentiam inde sibi sumens, a primo Imperii ejus anno, per totum triennium, Romae, omnibusque aliis urbibus, dominabatur. Tertio autem imperii ejus anno Antiochiae Syriae in Theatro, spectante etiam tum ludos Pronoeo Praefecto; qui ex Veneta erant Factione, alta voce Prasinis exclamarunt: *Tempus extollit, et deorsum agit: Jam Prasinae pugnae.* Et coorta est in populo conturbatio ingens; cujus eventus urbi cessit in incommodum. Graeci enim Antiocheni cum Judaeis, qui ibi habitarant, ad pugnam popularem pervenientes, ex Judaeis plurimos interfecerunt, et

δαίους καὶ τὰς συναγωγὰς αὐτῶν ἔκαυσαν. καὶ ἀκούσας ἐν Παλαιστίνῃ ὁ ἱερεὺς τῶν αὐτῶν Ἰουδαίων ὀνόματι Φινεές, συναθροί- D σας πλῆθος Ἰουδαίων καὶ Γαλιλαίων, πολιτῶν ὄντων, ὡς λʹ χιλιάδας ἔχων μεθ' ἑαυτοῦ ἦλθεν ἐξαίφνης ἐν τῇ αὐτῇ Ἀντιόχου πόλει ἀπὸ Τιβεριάδος πόλεως· καὶ ἐφόνευσεν πολλούς, ὡς ἅπαξ αἰφνίδιον εἰσελθὼν μετὰ ὡπλισμένων ἀνδρῶν· καὶ ἐάσας πάλιν ἀπῆλθεν ἐν Τιβεριάδι ὁ αὐτὸς Φινεές. καὶ ταῦτα μαθὼν ὁ βασιλεὺς Γάϊος ἠγανάκτησε κατὰ τῶν συγκλητικῶν τῶν ὄντων ἐν τῇ αὐτῇ Ἀντιοχείᾳ πόλει Ποντίου καὶ Οὐαρίου, καὶ πέμψας ἐδήμευσεν αὐτοὺς ἐπαίρων πᾶσαν τὴν περιουσίαν αὐτῶν καὶ τοὺς διαφέροντας αὐτοῖς ἐν Ἀντιοχείᾳ οἴκους ἐτίτλωσεν, ἅτινα οἰκή- O 316 ματα ἐκλήθη τὰ βασιλικὰ ἐξ ἐκείνου ἐν τῇ αὐτῇ Ἀντιοχείᾳ τῆς Συρίας, ἀγαγὼν καὶ αὐτοὺς σιδηροδεσμίους, διότι οὔτε τὴν τα- E ραχὴν τῆς πόλεως ἔπαυσαν οὔτε τῷ ἱερεῖ Φινεὲς πορθοῦντι τὴν πόλιν ἀντέστησαν.

Ἔπεμψε δὲ καὶ ἐν Τιβεριάδι πόλει τῆς Παλαιστίνης, καὶ παρέλαβε τὸν αὐτὸν Φινεές, ἱερέα τῶν Ἰουδαίων, καὶ ἀπεκεφάλισεν αὐτὸν ὡς τύραννον, καὶ πολλοὺς Ἰουδαίους καὶ Γαλιλαίους ἀπώλεσε. καὶ τὴν κεφαλὴν δὲ τοῦ ἱερέως Φινεὲς ἐκόντευσεν ἔξω τῆς πόλεως Ἀντιοχείας πέραν τοῦ Ὀρέντου ποταμοῦ, καὶ τὰ καυθέν- V 104 τα ἐν τῇ πόλει ἀνενέωσε πέμψας χρήματα.

Καὶ ἐν αὐτῷ τῷ ἔτει ἐσφάγη ὁ αὐτὸς Γάϊος βασιλεὺς ἔσω ἐν

5. ἐφόνευσαν Ox. 14. πορθοῦντι Ch., πορθοῦντα Ox. 20. Ὀρέντου] Ὀρόντου Ch. Vide dicenda ab nobis ad p. 113. A.

Synagogas eorum incendio devastarunt. Cujus rei famam cum in Palaestina Judaeorum ibi sacerdos, nomine Phineas accepisset; collecta Judaeorum et Galilaeorum copiosa multitudine, nempe triginta circiter millibus, ab urbe Tiberiade exercitum hunc ducens, Antiochiam subito adoritur: cujus incolas inopinatos opprimens, quamplurimos eorum internecioni dedit; strageque finita, Tiberiadem statim repetit. Haec ubi audisset Caius Imperator, in Pontoum et Varium Senatores, qui Antiochiae habitabant, ira commotus est. Missis itaque qui bona eorum publicarent, domosque eorum omnes fisco addicerent; (quae proinde ab Antiochenis, *Basilicae*, i. e. domus Regiae vocantur:) ipsos etiam ferreis compedibus vinctos adduci jussit; eo quod neque Antiochenos tumultuantes compescuissent; nec Phineae sacerdoti urbem vastanti, obviam ivissent.

Misit etiam Tiberiadem Palaestinae, qui Phineam sacerdotem comprehensum, tanquam rebellionis reum, capite multarent. Multos etiam Judaeos et Galilaeos, neci dedit. Phineae autem sacerdotis caput, in Orontis fluvii ripa opposita, extra urbem Antiochiam, conto affixum erigebatur. Quae vero in urbe ignibus absumpta fuerant, missis pecuniis ipse instauravit.

Eodem vero anno Caius Imperator a Cubiculariis Eunuchis, Satelli-

τῷ παλατίῳ ὑπὸ τῶν ἰδίων σπαθαρίων τῶν κουβικουλαρίων εὐνούχων κατὰ γνώμην τῆς συγκλήτου, ὢν ἐτῶν λθʹ.

Μετὰ δὲ τὴν βασιλείαν Γαΐου Καίσαρος ἐβασίλευσε Κλαύ-
O 317 διος Καῖσαρ ὁ Γερμανικὸς ἐπὶ τῆς ὑπατείας Κασίου καὶ Σόλωνος. ἐβασίλευσε δὲ ὁ αὐτὸς Κλαύδιος Καῖσαρ ἔτη ιδʹ καὶ μῆνας θʹ. ἦν δὲ κονδοειδής, εὔογκος, γλαυκόφθαλμος, μιξοπόλιος, λευκός, μάκροψις, γαληνότατος. ἔκτισε δὲ πόλιν, ἣν ἐκά-
B λεσεν εἰς ἴδιον ὄνομα Κλαυδιούπολιν. ἔκτισε δὲ καὶ Βρεττανίαν πόλιν πλησίον τοῦ Ὠκεανοῦ.

Ὁ δὲ αὐτὸς Κλαύδιος βασιλεὺς καὶ τῇ δημοκρατίᾳ τῶν Πρασίνων κατάστασιν ἔδωκεν. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔπαθεν ὑπὸ θεομηνίας ἡ Ἔφεσος καὶ ἡ Σμύρνα καὶ πολλαὶ ἄλλαι πόλεις τῆς Ἀσίας, αἵστισιν ἐχαρίσατο πολλὰ εἰς ἀνανέωσιν. ἐσείσθη δὲ τότε καὶ ἡ μεγάλη Ἀντιόχεια πόλις, καὶ διεῤῥάγη ὁ ναὸς τῆς Ἀρτέμιδος καὶ τοῦ Ἄρεως καὶ τοῦ Ἡρακλέος καὶ οἶκοι φανεροὶ ἔπεσαν. ὁ δὲ αὐτὸς βασιλεὺς Κλαύδιος ἐκούφισεν ἀπὸ τῶν συνεργιῶν, ἤτοι συστημάτων, τῆς Ἀντιοχέων πόλεως τῆς Συρίας τὴν
O 318 λειτουργίαν ἣν παρεῖχον ὑπὲρ καπνοῦ, εἰς ἀνανέωσιν τῶν ὑπορόφων ἐμβόλων αὐτῆς τῶν κτισθέντων ὑπὸ Τιβερίου Καίσαρος.

C Ἐν δὲ ταῖς ἀρχαῖς τῆς βασιλείας τοῦ αὐτοῦ Κλαυδίου Καίσαρος μετὰ τὸ ἀναληφθῆναι τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστὸν μετὰ ἔτη δέκα πρῶτος μετὰ τὸν ἅγιον Πέτρον τὸν ἀπόστολον τὴν χειροτονίαν τῆς ἐπισκοπῆς τῆς Ἀντιοχέων μεγάλης

15. Ἡρακλέως Ox. 18. Malim ὑπωρόφων.

tibus suis, Senatu factum approbante, cum annum ageret XXXIX, occisus est.

Caio successit in imperio Claudius Caesar, Germanicus, Cassio et Solone Coss. et regnavit annos XIV. et menses IX. Erat hic statura curta, corpore crasso, oculis caesiis, subcanus, colore candido, facie oblonga, ingenio mitissimo. Urbem hic condidit, quam a nomine suo Claudiopolim vocavit. Brettaniam quoque urbem condidit, non procul ab Oceano.

Claudius autem Imperator Prasinis dominationem suam confirmavit. Hujus autem sub imperio Ephesus et Smyrna, cum plurimis aliis Asiae urbibus, iram divinam expertae sunt: quibus instaurandis Imperator plurima suppeditavit. Eodem concussa est etiam Antiochia magna, templaque Dianae, Martis, atque Herculis per medium dirupta sunt; aedesque plurimae corruerunt. Itaque Claudius Imperator Tributum Fumarium, a Sodalitiis Antiochenis sibi pendi solitum, in Porticuum contignatarum, a Tiberio Caesare extructarum, instaurationem remisit.

Sub initiis autem Imperantis Claudii Caesaris, decem post annis quam Dominus Deus N. Jesus Christus in Coelum assumptus fuit, primus post Sanctum Petrum Apostolum Antiochiae Magnae, quae in Syria est, Epi-

πόλεως τῆς Συρίας ἔλαβεν Εὔοδος γενόμενος πατριάρχης. καὶ ἐπὶ αὐτοῦ χριστιανοὶ ὠνομάσθησαν τοῦ αὐτοῦ ἐπισκόπου Εὐόδου προσομιλήσαντος αὐτοῖς καὶ ἐπιθήσαντος αὐτοῖς τὸ ὄνομα τοῦτο. πρώην γὰρ Ναζωραῖοι [ἐκαλοῦντο] καὶ Γαλιλαῖοι ἐκαλοῦντο οἱ χριστιανοί.

Τῷ δὲ ὀγδόῳ ἔτει τῆς βασιλείας τοῦ αὐτοῦ Κλαυδίου Καίσαρος διωγμὸν μέγαν ἐποίησαν οἱ Ἰουδαῖοι κατὰ τῶν ἀποστόλων καὶ τῶν μαθητῶν αὐτῶν καὶ τυραννίδα κατὰ Ῥωμαίων ἐμελέτουν. D ὅθεν πρῶτος ἐπέμφθη κατ' αὐτῶν χιλίαρχος ὀνόματι Φῆστος· καὶ ἐξ ἐκείνου ὄλεθρος αὐτοῖς ἐγένετο. καὶ ἄρχοντα γὰρ προεχειρίσατο αὐτοῖς ὁ αὐτὸς Κλαύδιος βασιλεὺς Φήλικα ὀνόματι, O 319 ταράσσοντα αὐτούς.

Μετὰ δὲ ιη' ἔτη τοῦ ἀναληφθῆναι ἐν τοῖς οὐρανοῖς τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστόν, ἐν τῇ ἑορτῇ τῆς πεντηκοστῆς τῶν αὐτῶν Ἰουδαίων, οἱ ἱερεῖς ἐν τῇ αὐτῇ ἡμέρᾳ ἤκουσαν φωνῆς ἀνθρωπίνης λεγούσης ἀπὸ τοῦ ἐσωτέρου ἱεροῦ τοῦ λεγομένου ἅγιον τῶν ἁγίων, Μεθιστάμεθα ἐντεῦθεν. τὴν δὲ φωνὴν ταύτην τρίτον ῥηθεῖσαν ἤκουσαν, ὡς θυσιάζουσιν, οἱ αὐτοὶ ἱερεῖς, καὶ ἐγνώσθη τοῦτο παντὶ τῷ ἔθνει. καὶ ἐξ ἐκείνου ὄλεθρος ἤρξατο E τοῖς Ἰουδαίοις, καθὼς Ἰώσηπος ὁ Ἑβραίων φιλόσοφος ταῦτα συνεγράψατο, εἰρηκὼς καὶ τοῦτο, ὅτι ἐξότε Ἰουδαῖοι ἐσταύρωσαν

1. Εὔοδος] Εὐόδιος Ch. 4. Seclusi ἐκαλοῦντο. 11. προεχειρίσατο Ch., προεχειρίσαντο Ox. ibid. Φίλικα Ox. 14. Ἰουσοῦν Ox. 17. μεθιστάμεθα] μεθιστώμεθα Ch., μεταβαίνωμεν Iosephus Bell. Iud. VI. 8. 5. 20. Ἰώσηπος] Conf. Arch. Iud. XVIII. 8. 8.

scopus factus est Evodius: sub quo, qui *Nasoraei* antea et *Galilaei* vocitabantur, *Christianorum* nomen acceperunt; imponente hoc illis, simul et inter illos Evangelium praedicante, Evodio ipso Episcopo.

Anno autem Claudii Caesaris VIII, Judaei Apostolos atque eorum discipulos insectari coeperunt: quin et rebellionem adversus Romanos meditabantur. Tum primum itaque contra eos missus est Festus Chiliarchus; exinde vero exitium Judaeis imminere visum est. Praefecerat enim illis Claudius Imperator Felicem quendam; qui magnas in Judaea tragoedias excitabat.

Anno vero XVIII post Dominum ac Deum nostrum Jesum Christum in coelos assumptum, ipso Judaeorum Festi Pentecostes die, sacerdotibus ab Interiore Templi Adyto, quod *Sanctum Sanctorum* dictum est, Humana vox subito audita est, hisce verbis: *Migremus hinc.* Vox autem haec tertia vice repetita, sacerdotibus audita fuit, sacra tum peragentibus: cujus rei fama toti Judaeorum genti innotuit. Hinc Fatalia Judaeorum tempora initium habuerunt: uti scriptis suis testatus est Josephus, Hebraeorum Philosophus; qui et ista insuper tradidit: „Judaeos nunquam a calamitatibus suis respirasse quidem, ex quo Cruci Jesum fixerunt; he-

Ἰησοῦν, ὃς ἦν ἄνθρωπος ἀγαθὸς καὶ δίκαιος, εἴπερ ἄρα τὸν τοιοῦτον ἄνθρωπον δεῖ λέγειν καὶ μὴ θεόν, οὐκ ἐξέλειψεν ὀδύνη ἐκ τῆς Ἰουδαίας χώρας. ταῦτα ἐν τοῖς Ἰουδαϊκοῖς συγγράμμασιν αὐτοῦ ἐξέθετο ὁ αὐτὸς Ἰώσηπος Ἰουδαίοις.

O 320 V 105 Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Κλαυδίου οἱ αὐτοὶ Ἀντιοχεῖς κτήτορες καὶ πολῖται ἀναφορὰν ἔπεμψαν, δεόμενοι ὥστε παρασχεθῆναι αὐτοῖς ἀπὸ θείας αὐτοῦ κελεύσεως ἀγορασθῆναι τὰ Ὀλύμπια ἀπὸ τῶν Πισαίων τῆς Ἑλλάδος χώρας ἀπὸ τῶν ἐτησίων προσόδων τῶν ἐαθέντων χρημάτων παρὰ Σωσιβίου τινὸς συγκλητικοῦ, συμπολίτου αὐτῶν. καὶ παρέσχεν αὐτοῖς ἀγοράσαι τὰ Ὀλύμπια ὁ αὐτὸς Κλαύδιος βασιλεύς, ἔτους χρηματίζοντος κατὰ τοὺς Ἀντιοχεῖς Σύρους ϟβʹ. τοῦτο δὲ ἐποίησαν οἱ αὐτοὶ Ἀντιοχεῖς λυπηθέντες πρὸς τοὺς πολιτευομένους τῆς αὐτῆς πόλεως διὰ τὰς προσόδους τὰς προειρημένας, παρὰ Σωσιβίου ἐαθείσας τῇ πό-
B λει αὐτῶν· περὶ οὗ Σωσιβίου ὁ σοφὸς χρονογράφος Παυσανίας ἐξέθετο ὅτι εἴασε τελευτῶν κατὰ διαθήκας τῇ τῶν Ἀντιοχέων μεγάλῃ πόλει Σωσίβιός τις ἐτησίαν πρόσοδον χρυσίου τάλαντα δεκαπέντε· ἅτινα ἐν τοῖς ἀνωτέρω χρόνοις τοῦ Αὐγούστου Ὀκταβιανοῦ προγέγραπται. τὰ δὲ τῆς προσόδου εἰάθη εἰς τὸ ἐπιτελεῖσθαι τοῖς αὐτοῖς συμπολίταις κατὰ πενταετῆ χρόνον πολύτροπον θέαν ἐπὶ ἡμέρας λʹ μηνὶ ὑπερβερεταίῳ τῷ καὶ ὀκτωβρίῳ σκηνικῶν, θυμελικῶν καὶ τραγικῶν καὶ ἀθλητῶν ἀγῶνα καὶ ἱπ-

2. ἐξέλειψεν Ch., ἐξέλιψεν Ox. 4. Ἰουδαίοις] Ἰουδαῖος Ch. 8. Πισαίων Ch., Πισέων Ox. Sic et p. seq. v. 5. 10. αὐτοὺς] „Lego αὐτοῖς." Ch. 19. προγέγραπται] p. 95. B.

minem illum bonum ac justum: si modo Hominem (inquit) illum fas sit dicere et non Deum potius, qui talis fuerit. Haec Josephus ille Judaeus in Libris suis de Judaeorum Antiquitatibus scripta reliquit.

Eodem imperante Claudio, Primores et populus Antiochenus ad imperatorem referebant, ab eo petentes, uti divino ejus ex Edicto, facultatem sibi haberent Olympia a Pisaeis redimendi ex annuis illis reditibus, urbi suae, a Sosibio quodam, Cive et Senatore Antiocheno, olim legatis. Facultatem itaque Olympia redimendi concessit eis Claudius Imperator, anno Aerae Antiochenae xcii. Factum nempe hoc ab Antiochenis, quod aegre ferrent in Magistratibus suis ea quae de supradictis Sosibii reditibus factitata essent. Sosibius enim uti scriptum reliquit in Chronographia sua sapiens Pausanias, Antiochiae Magnae legavit moriens xv auri talenta, annuatim urbi solvenda; sicuti superius in Augusti Octaviani temporibus memoratum est. Reditum vero hunc annuum Sosibius Antiochenis legaverat, ut haberent unde sumptus facerent in varium illud spectaculum, Scenicorum, Thymelicorum, Tragicorum, Athleticorum ludorum, Gladiatorum quoque et Certaminum Equestrium; quod quinto quoque anno, Hyperberetaeo, sive Octobri mense, per xxx dies celebrari

παιῶν καὶ μονομάχων. καὶ τὰς μὲν ἀρχὰς ἐπετέλεσαν οἱ αὐτοὶ O 321 πολιτευόμενοι, μετὰ δὲ ταῦτα ὑπερετίθεντο τὰς προσόδους ἀποκερδαίνοντες, ἀπὸ θείας κελεύσεως οἱ αὐτοὶ πολιτευόμενοι Ἀντιοχείας μετὰ καὶ τῶν κτητόρων ἠγόρασαν τὰ Ὀλύμπια ἀπὸ τῶν C Πισαίων. καὶ ᾔτησαν οἱ αὐτοὶ βουλευταὶ τοὺς τῆς πόλεως πάντας, ὡς ἂν ἕτοιμοι ὄντες ἐνδοῦναι αὐτοῖς ἐν τῷ τέως τὴν τῶν Ὀλυμπίων ἑορτὴν ἐπιτελεῖσθαι αὐτοῖς. καὶ πεισθέντων τῶν κτητόρων καὶ τοῦ δήμου παντὸς καὶ τῶν ἱερέων, ἐνεδόθη αὐτοῖς· καὶ ἐπετέλεσαν οἱ αὐτοὶ πολιτευόμενοι κατὰ τὸ πρώην ἔθος πάλιν τὸν τῶν σκηνικῶν καὶ ἀθλητῶν, θυμελικῶν καὶ τραγικῶν καὶ ἱππικῶν ἀγῶνα, καὶ λοιπὸν τὰς λ' ἡμέρας ἀπὸ τῆς νεομηνίας τοῦ ὑπερβερεταίου μηνὸς κατὰ πέντε ἔτη ἕως τοῦ καιροῦ τοῦ πενταετοῦς φθάσαντος.

Καὶ πάλιν εὑρίσκοντες ἀφορμὴν εὔλογον οἱ αὐτοὶ πολιτευό- D μενοι, διαφόρων πολέμων κινηθέντων ἐν τῇ ἀνατολῇ, οὐ μὴν ἀλλὰ καὶ τῆς αὐτῆς πόλεως Ἀντιοχείας ληφθείσης ὑπὸ ἐναντίων, ὡσαύτως δὲ καὶ θεομηνίας γενομένης καὶ διαφόρων σεισμῶν καὶ ἐμπρησμῶν, ἀνεβάλοντο καὶ τὴν κατὰ πενταετῆ χρόνον πάλιν ἐπιτελεῖν αὐτοῖς πολύτροπον ἀγῶνος θέαν, ἀλλ' ἐπετέλεσαν ἄλλας διαφόρους περιόδους ἐξ τὴν αὐτὴν προειρημένην πανήγυριν δι' O 322 ἐνιαυτῶν ιε' ἢ καὶ κ', ὡς ἐὰν αὐτοῖς ἔδοξε μετὰ τὸ τὴν πόλιν τῶν Ἀντιοχέων τῶν κακῶν ἀπαλλαγῆναι καὶ ἐν εἰρήνῃ διάγειν.

1. μονομάχων Ch., μοναχῶν Ox. Conf. ad p. 91. D. 3. ἀπὸ] Excidisse videtur ἐκ. 10. τὸν Ch., τῆς Ox. 18. τὴν Ch., τὸν Ox.

solebat. Et primitus quidem Ludos hosce Gymnasiarchae rite celebrabant: deinceps vero, lucellum captantes, celebrationem hanc penitus omittebant; donec tandem, divino Imperatoris Edicto, Primoribusque urbis postulantibus, ad id coacti, Olympia a Pisaeis redimebant. Tum vero cives universos monebant, se Solennia Olympica, (quae antea fuerant) illis exhibere paratos esse; quibus eos se accingere hortabantur. Annuentibus itaque urbis Primoribus, cum sacerdotibus omnique populo, Ludi illi Scenici, Athletici, Thymelici, Tragici, Equestriaque Certamina, sicut olim, per xxx dies celebrata sunt: facto initio a Novilunio mensis Octobris singulis Lustris recurrentibus.

Rursus autem variis bellorum motibus in Oriente excitatis, cum Antiochia et ipsa vel ab hostibus occupata, aut etiam iram Divinam passa, crebris terraemotibus et incendiis labefactata fuisset; oblata inde apta occasione, iidem Magistratus omnigenum illud spectaculum Quinquennale intermittebant; nec deinceps statis, ut antea temporibus, sed xv puta, aut etiam xx quoque anno, pro arbitrio suo, (idque sexies tantum,) celebrabant; etiam et tunc quoque, cum Antiochia urbs, malis illis defuncta, pace sua pristina gauderet.

Τῷ δὲ ιγ' ἔτει τῆς βασιλείας τοῦ αὐτοῦ Κλαυδίου Καίσαρος
ἔπαθεν ὑπὸ θεομηνίας ἡ Κρήτη νῆσος πᾶσα· ἐν οἷς χρόνοις ηὑ-
E ρέθη ἐν τῷ μνήματι τοῦ Δίκτυος ἐν κασσιτερίνῳ κιβωτίῳ ἡ
ἔκθεσις τοῦ Τρωικοῦ πολέμου μετὰ ἀληθείας παρ' αὐτοῦ συγγρα-
φεῖσα πᾶσα. ἔκειτο δὲ προσκέφαλα τοῦ λειψάνου τοῦ Δίκτυος·
καὶ νομίσαντες τὸ αὐτὸ κιβώτιον θησαυρὸν εἶναι προσήνεγκαν
αὐτὸ τῷ βασιλεῖ Κλαυδίῳ· καὶ ἐκέλευσε μετὰ τὸ ἀνοῖξαι καὶ γνῶ-
ναι τί ἐστι μεταγραφῆναι αὐτὰ καὶ ἐν τῇ δημοσίᾳ βιβλιοθήκῃ
ἀποτεθῆναι αὐτά.

V 106 Καὶ ἐτελεύτα ὁ Κλαύδιος πολλὰ ἐν τῇ Κρήτῃ χαρισάμενος εἰς
ἐπανόρθωσιν. ἐτελεύτησεν οὖν ὁ αὐτὸς Κλαύδιος ἰδίῳ θανάτῳ
ἐν τῷ παλατίῳ, ἀῤῥωστήσας ἡμέρας δύο, ὢν ἐνιαυτῶν ξε'.

Μετὰ δὲ τὴν βασιλείαν Κλαυδίου Καίσαρος ἐβασίλευσε Νέ-
O 323 ρων ὁ υἱὸς αὐτοῦ ἐπὶ τῆς ὑπατείας Σιλουανοῦ καὶ Ἀντωνίνου·
ὅστις ἐβασίλευσεν ἔτη ιγ' καὶ μῆνας δύο. ἦν δὲ μακρός, λε-
πτός, εὔμορφος, εὔρινος, ἀνθηροπρόσωπος, μεγαλόφθαλμος,
ἁπλόθριξ, ὁλοπόλιος, δασυπώγων, εὔτακτος. ἡ μόνον δὲ ἐβα-
σίλευσε ἐξεζήτησε τὰ περὶ τοῦ Ἰησοῦ· καὶ ἀγνοήσας ὅτι ἐσταυρώ-
θη ἐζήτησεν αὐτὸν ἀνενέγκαι ἐν Ῥώμῃ, ὡς φιλόσοφον μέγαν καὶ
B θαύματα ποιοῦντα· ἤκουσε γὰρ πρὸ τοῦ βασιλεῦσαι περὶ αὐτοῦ
τοιαῦτα. θέλων δὲ ἐπερωτῆσαι αὐτόν τινα ἐζήτει ἀναγάγαι αὐ-
τόν. ἦν γὰρ ὁ αὐτὸς Νέρων βασιλεὺς τοῦ δόγματος τῶν λεγομέ-

3. ἐν κασσιτερίνῳ κιβωτείῳ] „Ita et infra 6. κιβώτειον; Scribendum κιβωτίῳ, et κιβώτιον." Ch. 11. ἐτελεύτησεν] ἐκέλευσεν Ox.

Anno autem XIII Imperantis Claudii, Creta insula, divinam iram pessa, tota terrae motibus agitata est. Eodem tempore Dictys Cretensis in tumulo reperta est, pyxide stannea inclusa, Trojani belli historia, ab eodem Dicty secundum rerum gestarum veritatem exposita. Pyxidem hanc, quae ad sepulti caput jacebat, thesaurum rati qui illac transibant; ad Imperatorem Claudium deferunt: qui, pyxide aperta, reque cognita, Historiam hanc describendam dedit; descriptamque, in Bibliotheca publica reponendam curavit.

Claudius autem Cretensibus plurima, in ruinarum instaurationem, largitus est: morboque deinde correptus, post biduum in Palatio diem suum obiit, annum agens LXV.

Claudium Caesarem in imperio excepit filius ejus Nero; Silvano et Antonino Coss. qui regnavit annos XIII, et Menses II. Erat hic procerus, gracilis, decorus, naso eleganti, vultu florido, oculis grandioribus, capillo lento et porrecto, canus, barba hispida, moribus compositis. Quamprimum vero regnare coepit, de Jesu percontatus est; de quo, privatus adhuc, acceperat magnum eum esse Philosophum et virum Mirificum. Nescius itaque eum jam Crucifixum fuisse, Romam adduci eum voluit, de quibusdam illum interrogaturus. Nero enim Imperator Epicureorum Dogmati favebat; qui omnia

νων Ἐπικουρείων, ὅ ἐστι τῶν αὐτοματιστῶν τῶν λεγόντων ἀπρο-
νόητα εἶναι τὰ πάντα. καὶ μαθὼν ὁ αὐτὸς βασιλεὺς Νέρων ὅτι
πρὸ πολλοῦ χρόνου ἐσταύρωσαν αὐτὸν οἱ Ἰουδαῖοι ζήλῳ φερόμε-
νοι καὶ μόνον ἐν μηδενὶ μεμφθέντα, ἠγανάκτησε· καὶ ἐκέλευσε, καὶ
ἀνηνέχθησαν ἐν τῇ Ῥώμῃ διὰ Μαξίμου ὅ τε Ἄννας καὶ Καϊάφας. O 324
καὶ Πιλᾶτον δὲ οἰκοῦντα τὴν Παλαιστίνην μετὰ διαδοχὰς τῆς ἀρ-
χῆς αὐτοῦ ἀνήγαγε διὰ Μάξιμον. πολλὰ δὲ εἰπόντες περὶ τοῦ Πι-
λάτου κακὰ οἱ περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἐδίδασκον καὶ τοῦτο,
ὅτι Ἡμεῖς τοῖς νόμοις αὐτὸν παρεδώκαμεν. καὶ πολλοῖς παρα- C
σχόντες χρήματα οἱ περὶ τὸν Ἄνναν καὶ Καϊάφαν κατορθώσαντες
ἀπελύθησαν.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας τοῦ αὐτοῦ Νέρωνος ὁ ἅγιος
Παῦλος ἀπῆλθεν ἐν Ἀθήναις τῇ πόλει τῆς Ἑλλάδος· καὶ ηὗρεν
ἐκεῖ φιλόσοφον ὀνόματι Διονύσιον τὸν Ἀρεοπαγίτην τὸν Ἀθηναῖον
τὸν περιβόητον, βρύοντα φιλοσοφίας διδάγματα· ὃς ἐξέθετο περὶ
τοῦ ἡλίου ὅτι ἀπὸ τῆς ἀποῤῥοίας τοῦ φωτὸς τοῦ θεοῦ ἐστι, καὶ
ἄλλα τινὰ εἰπὼν περὶ τοῦ δημιουργήματος. ὅντινα ἑωρακὼς ὁ
ἅγιος Παῦλος προσηγόρευσε, καὶ ἐπηρώτα τὸν ἅγιον Παῦλον ὁ
Διονύσιος, Τίνα κηρύσσεις θεόν, σπερμολόγε; καὶ ἀκούσας τοῦ
ἁγίου Παύλου ὁ αὐτὸς Διονύσιος διδάσκοντος αὐτὸν προσέπεσεν D
αὐτῷ, αἰτῶν αὐτὸν φωτισθῆναι καὶ γενέσθαι χριστιανόν. καὶ
βαπτίσας αὐτὸν ὁ ἅγιος Παῦλος ἐποίησε χριστιανόν. καὶ ἑωρα- O 325

1. Ἐπικουρίων Ox. 7. δι' Ἄξιμον Ox., διὰ Μαξίμου Ch. recte. 8. ἐδίδασκον Ch., ἐδίδασκεν Ox. 14. Ἀρεοπαγείτην Ox. 16. ἀποῤῥοίας Ch., ἀποῤῥύας Ox.

fortuito fieri, nulla interveniente Providentia, affirmarunt. Certior autem factus Imperator Nero, eum, inculpatum licet, a Judaeis, invidia sola impulsis, cruci jampridem fuisse affixum, ira commotus est. Misso itaque in Judaeam Maximo, jussit Romam adduci Annam et Caiapham; Pontium quoque Pilatum, qui Praefectura sua defunctus, in Palaestina tum degebat. Cumque Pilatum Annas et Caiphas multorum non recte factorum postularent, insuper et hoc addiderunt, se quidem Legibus Jesum judicandum tradidisse. Datis itaque ubi interfuit pecuniis, Annas et Caiphas, rebus suis prospere actis, dimissi sunt.

Eodem imperante Nerone, Athenas, Graeciae urbem, venit D. Paulus: ubi incidit in Philosophum Atheniensem celeberrimum, Dionysium Areopagitam, Philosophiae Dogmata ibi pandentem. Affirmavit hic Solem ex Divinae Lucis Effluvio emanasse: alia item nonnulla, de Rerum fabrica, philosophatus est. Hunc Paulus videns, allocutus est: cui Dionysius; Qualem inquit, tu Deum praedicas, garrule. At vero ubi D. Pauli doctrinam attentius percepisset; ei ad pedes procidens, ut Baptismi lavacro immersus, Christianus ipse fieret rogavit. Paulus itaque eum baptizans, Christianum fecit: perspectoque fidei ejus fervore, Episcopum re-

κὼς ὁ ἅγιος Παῦλος τὸ θερμὸν τῆς πίστεως τοῦ αὐτοῦ Διονυσίου ἐποίησεν αὐτὸν ἐπίσκοπον ἐν τῇ χώρᾳ ἐκείνῃ· ὅστις Διονύσιος ὁ ἀπὸ φιλοσόφων καὶ βίβλους καθ' Ἑλλήνων ἐξέθετο. ὁ δὲ ἅγιος Παῦλος ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Νέρωνος ἀνῆλθεν ἐν Ῥώμῃ Σίμων τις ὀνόματι Αἰγύπτιος μάγος, ποιῶν διὰ γοητείας φαντασίας τινὰς καὶ λέγων ἑαυτὸν Χριστόν. ἀκούσας δὲ ὁ ἅγιος Πέτρος ὁ ἀπόστολος περὶ αὐτοῦ ἀνήρχετο ἐν τῇ Ῥώμῃ. ἐν τῷ δὲ
E ἀνιέναι αὐτὸν ἐν τῇ Ῥώμῃ διερχομένου αὐτοῦ δι' Ἀντιοχείας τῆς μεγάλης συνέβη τελευτῆσαι Εὔοδον τὸν ἐπίσκοπον καὶ πατριάρχην Ἀντιοχείας· καὶ ἔλαβε τὸ σχῆμα τῆς ἐπισκοπῆς Ἀντιοχείας τῆς μεγάλης Ἰγνάτιος, τοῦ ἁγίου Πέτρου τοῦ ἀποστόλου χειροτονήσαντος. συνέβη δὲ ἐν τοῖς αὐτοῖς χρόνοις τελευτῆσαι καὶ Μάρκον τὸν ἀπόστολον ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ, ἐπίσκοπον ὄντα ἐκεῖ καὶ πατριάρχην. καὶ παρέλαβε τὴν ἐπισκοπὴν παρ' αὐτοῦ
V 107 Ἀνιανός, μαθητὴς αὐτοῦ, καθὼς ὁ σοφὸς Θεόφιλος ὁ χρονογράφος συνεγράψατο.

O 326 Καταφθάσαντος δὲ τοῦ ἁγίου Πέτρου τοῦ ἀποστόλου τὴν Ῥώμην καὶ μαθόντος ποῦ μένει Σίμων ὁ μάγος, ἀπῆλθε πρὸς αὐτὸν ἔνθα κατέμεινε· καὶ ηὗρεν ἐκεῖ κύνα μέγαν ἐν τῷ πυλεῶνι ποιμενικόν, ὅπου κατέμεινε Σίμων ὁ μάγος, ἁλύσεσι δεδεμένον, ὅντινα ὁ Σίμων διὰ τὸν Πέτρον καὶ τοὺς θέλοντας ἀνιέναι πρὸς αὐτὸν ἐδέσμησεν εἰς τὸ μηδένα ὡς ἔτυχεν δίχα τοῦ τὸν Σίμωνα κελεύειν τῷ κυνὶ καὶ συγχωρεῖν τὸν κύνα παριέναι, οὓς ἠβούλετο ὁ Σίμων· καὶ τοῦτο ἦν πρῶτον θαῦμα τῷ μέλλοντι ἀνιέναι πρὸς

10. Εὔοδον] Εὐόδιον Ch. 24. Fort. πλὴν οὓς vel οὓς μή.

gionis ejus constituit Dionysium. Et hic quidem Dionysius, qui ex Philosophorum numero fuerat, adversus Graecos libros scripsit. Paulus vero Hierosolymas reversus est.

Temporibus etiam Neronis Romam venit Magus quidam Aegyptius, nomine Simon; qui Praestigiis quibusdam Magicis usus, Christum se esse venditavit. D. Petrus, hoc audito, Romam contendit: dumque per Antiochiam magnam iter faceret, contigit Evodium mori, Episcopum et Patriarcham Antiochensem: cujus in locum D. Petrus Apostolus Ignatium surrogavit. Eodem tempore mori etiam contigit Marcum Apostolum et Patriarcham Alexandriae Magnae. Moriturus autem, discipulum suum Anianum suffecit sibi: sicut sapiens Theophilus Chronographus scriptum reliquit.

Petrus autem Apostolus Romam veniens edoctusque, ubi Simon Magus commorabatur, ad eum profectus est. Simon autem, ne injussu sui Petro vel cuivis alii ad se pateret aditus; pro foribus Canem Pastoralem praegrandem, catena vinctum habuit: qui nisi signo a Simone prius dato, advenientibus quibuscunque ingressum prohibebat. Atque hoc omnibus,

τὸν αὐτὸν Σίμωνα. ὁ δὲ Πέτρος ἑωρακὼς τὸν κύνα οὕτω μέγαν καὶ φαβερόν, καὶ μαθὼν παρὰ τῶν ἑστηκότων ἔξω τοῦ αὐτοῦ B πυλῶνος ὅτι εἰ μὴ κελεύσει ὁ Σίμων τῷ κυνί, οὐ συγχωρεῖ ὁ αὐτὸς κύων τινὰ ἀνελθεῖν, ἀλλ' ἐπερχόμενος φονεύει τὸν πλησιάζοντα αὐτῷ· κρατήσας οὖν ὁ Πέτρος τὴν ἅλυσιν τοῦ κυνὸς ἔλυσεν αὐτὸν καὶ εἶπεν αὐτῷ, Ἄνελθε πρὸς Σίμωνα καὶ εἰπὲ αὐτῷ ἀνθρωπίνῃ φωνῇ, Πέτρος ὁ δοῦλος τοῦ θεοῦ τοῦ ὑψίστου ἀνελθεῖν θέλει. ὁ δὲ αὐτὸς κύων ἀνῆλθεν εὐθέως δρομαίως· καὶ ἐν τῷ ἐκεῖνον διδάσκειν τινὰ μαγικὰ πλανήματα ἔστη ἐν μέσῳ ὁ κύων καὶ ἀνθρωπίνῃ φωνῇ λέγει τῷ Σίμωνι, Πέτρος ὁ δοῦλος τοῦ θεοῦ τοῦ ὑψίστου ἀνελθεῖν θέλει πρός σε. οἱ δὲ ἀκούσαντες τοῦ κυνὸς λαλοῦντος ἀνθρωπίνῃ φωνῇ, ἐθαύμασαν λέγοντες, O 327 Τίς ἐστι Πέτρος ἢ ἡ δύναμις αὐτοῦ Πέτρου οὗ εἶπεν ὁ κύων, ὅτι C ἐποίησε τὸν κύνα ἀνθρωπιστὶ λαλῆσαι καὶ ποιῆσαι αὐτῷ τὴν ἀπόκρισιν. καὶ λέγει ὁ Σίμων τοῖς ἑστῶσι καὶ θαυμάζουσι τὸν Πέτρον τοῖς ἀνθρώποις, Τοῦτο ὑμᾶς μὴ ξενίσῃ· ἰδοὺ γὰρ κἀγὼ λέγω αὐτῷ τῷ κυνὶ τῇ αὐτῇ ἀνθρωπίνῃ φωνῇ ἀπόκρισιν αὐτῷ κατενέγκαι. καὶ λέγει ὁ Σίμων τῷ κυνί, Κελεύω σοι ἀπελθεῖν καὶ εἰπεῖν τῷ Πέτρῳ ἀνθρωπίνῃ φωνῇ ὅτι εἶπεν ὁ Σίμων, Ἄνελθε. καὶ ἀνῆλθε πρὸς τὸν Σίμωνα ὁ Πέτρος καὶ συνέβαλε μετὰ Σίμωνος τοῦ Αἰγυπτίου, ποιῶν καὶ αὐτὸς θαυμάσια· καὶ ἐνίκησε τὸν Σίμωνα τὸν μάγον ποιῶν ἰάσεις. καὶ ἐπίστευσαν τῷ Πέτρῳ πολλοὶ καὶ ἐφωτίσθησαν.

6. εἶπε pro εἰπὲ Ox. 8. δρομαίως Ch., δρομέως Ox. 11. οἱ] ὁ Ox. 16. τοῖς rectius abest.

Magum adeuntibus, Miraculum antehac habebatur. Caeterum Petrus, viso Cane illo praegrandi et efferato; praemonitus etiam ab eis, qui extra fores adstabant, non posse illum introire; ut pote in quem canis, nisi contrarium ei Simon significaret, more suo irruens, protinus dilaceraret, intrepide accessit; solutaque catena, Canem ingredi ad Simonem jussit, eique humana voce significare, „Petrum, servum Dei altissimi, introire velle." Canis adhaec propere accurrens, Simonem de praestigiis quibusdam Magicis disserentem coram omnibus humana voce alloquitur, ei dicens: „Petrus servus Dei Altissimi te conventum vult." Audientes autem qui aderant, Canem humana voce loquentem, attoniti dixerunt: Quisnam Petrus iste? aut qualis Petri hujus, de quo canis loquitur, vis tanta, quae efficere potuit, ut Canis humana voce locutus nuncium ei ferret? Stupentibus autem ad id, quod a Petro factum fuerat omnibus, dixit Simon, „ne hoc vos adeo reddat attonitos: ecce enim ego quoque efficiam, ut Canis humana voce responsum Petro referat." Cani deinde dixit Simon: „Jubeo ut egressus Petro voce humana dicas, Simonem velle eum ingredi." Petrus igitur intravit; et cum Simone Aegyptio congressus, miracula et ipse edidit, morbosque sanavit, Simonem Magum in omnibus superans. Unde Petro plurimi fidem habuerunt et ab eo baptizati sunt.

D *Καὶ ἦν ἐν τῇ Ῥώμῃ ταραχὴ μεγάλη καὶ θρύλλος ἕνεκεν τοῦ Σίμωνος καὶ τοῦ Πέτρου, ὅτι κατέναντι ἀλλήλων ἐποίουν θαύματα. καὶ ἀκούσας τὴν ταραχὴν Ἀγρίππας ὁ ἔπαρχος, ἀνήγαγε τῷ βασιλεῖ Νέρωνι ὅτι εἰσί τινες ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει θαύματα ποιοῦντες κατέναντι ἀλλήλων, καὶ ὁ μὲν εἷς λέγει αὐτὸν Χριστόν, ὁ δὲ ἕτερος λέγει, Οὐκ ἔστιν αὐτός, ἀλλὰ μάγος ἐστίν·* O 328 *ἐγὼ γὰρ τοῦ Χριστοῦ μαθητής εἰμι. καὶ ἐκέλευσεν ὁ βασιλεὺς Νέρων εἰσαχθῆναι πρὸς αὐτὸν τὸν Σίμωνα καὶ τὸν Πέτρον, καὶ τὸν Πιλᾶτον δὲ ἀχθῆναι ἀπὸ τοῦ δεσμωτηρίου. καὶ εἰσηνέχθησαν πρὸς τὸν βασιλέα· καὶ ἐπηρώτησε τὸν Σίμωνα ὁ Νέρων, λέ-* E *γων, Σὺ εἶ ὃν λέγουσιν οἱ ἄνθρωποι εἶναι Χριστόν; ὁ δὲ εἶπε, Ναί. καὶ ἐπηρώτησε καὶ τὸν Πέτρον ὁ Νέρων λέγων, Ἀκριβῶς οὗτός ἐστιν ὁ Χριστός; ὁ δὲ Πέτρος ἔφη, Οὐκ ἔστιν αὐτός· ἐγὼ γὰρ ἐκείνου μαθητής εἰμι, καὶ ἐπ' ἐμοῦ εἰς τοὺς οὐρανοὺς ἀνελήφθη. καὶ καλέσας τὸν Πιλᾶτον εἶπεν αὐτῷ περὶ τοῦ Σίμωνος ὅτι Οὗτός ἐστιν ὃν ἐξέδωκας εἰς τὸ σταυρωθῆναι; καὶ προσεσχηκὼς αὐτῷ ὁ Πιλᾶτος εἶπεν, Οὐκ ἔστιν αὐτός· οὗτος γὰρ καὶ* V 108 *χαρηκομόων ἐστὶ καὶ περιπληθής. περὶ δὲ τοῦ Πέτρου ἐπηρώτησεν αὐτόν, Τοῦτον δὲ μαθητὴν αὐτοῦ οἶδας; ὁ δὲ εἶπε, Ναί. εἰσήγαγον γάρ μοι αὐτόν, ὡς μαθητὴν αὐτοῦ, καὶ ἐπηρώτησα αὐτόν, καὶ ἠρνήσατο λέγων μὴ εἶναι αὐτοῦ μαθητής· καὶ ἀπέλυσα αὐτόν. καὶ λοιπὸν Νέρων, ὡς ψευσαμένου τοῦ Σίμωνος καὶ εἰπόντος ἑαυτὸν Χριστόν, ὅπερ οὐκ ἦν, καὶ τοῦ Πέτρου πάλιν*

18. *χαρηκομόων* Ox. 22. *εἰπόντος* Ch., *εἰπόντα* Ox.

Magnus autem Romae erat tumultus in populo, ob Simonem et Petrum inter se de Miraculis edendis certantes. Hoc cognito Agrippa, urbis praefectus, Neroni rem detulit; „Sunt, inquiens, in urbe hac imperatrice, qui de Miraculis faciendis inter se certant: quorum alter Christum se esse venditat; alter vero, non Christum, sed Magum esse eum, dicit: se enim Christi discipulum fuisse asserit.“ Jubet itaque Nero Imperator, coram se adduci Simonem et Petrum: Pontium etiam Pilatum e carcere accersit: Hi itaque coram Imperatore sistebantur. Nero autem Simoni, Tune, inquit, es quem Christum vocant homines? Imo, respondit ille. Tum Nero Petrum interrogavit: Estne, inquiens, hic revera Christus? respondit Petrus; Non est: Ego enim Christi ex Discipulis fui; atque oculis hisce in coelos assumptum eum vidi. Tum Nero Pilatum interrogans; Hiccine, inquit, est, quem tu cruci affigendum tradidisti? Pilatus, intentis in eum oculis, Nequaquam, respondit: Comatus enim hic est, atque obesus. De Petro autem eum interrogans Nero; Ast hunc, inquit, Christi discipulum agnovisti? Maxime; respondit Pilatus: in Praetorium enim introductum eum, tanquam Christi assectatorem, cum de hoc a me interrogatus, omnino negaret, dimisi protinus. Nero itaque utrum-

ἐλεγχθέντος ὑπὸ τοῦ Πιλάτου καὶ ἀρνησαμένου τὸν Χριστόν, ἐκέλευσε, καὶ ἐξεβλήθησαν ἀμφότεροι ἐκ τοῦ παλατίου.

Καὶ διῆγον ἐν τῇ Ῥώμῃ ποιοῦντες θαύματα ἀπέναντι ἀλλή- O 329
λων· καὶ ὁ μὲν Σίμων ὁ μάγος ἀχθέντος ταύρου μεγάλου εἶπεν
εἰς τὸ ὠτίον αὐτοῦ λόγον, καὶ εὐθέως ὁ ταῦρος ἀπέθανε καὶ B
ἐθαυμάζετο ὁ Σίμων. ὁ δὲ Πέτρος εὐθέως εὐξάμενος ἐπὶ πάντων ἐποίησεν ἀναζῆσαι τὸν ταῦρον· καὶ ἀπεδόθη τῷ ἰδίῳ δεσπότῃ ὁ αὐτὸς ταῦρος. καὶ πάντες ἐπῄνουν τὸν Πέτρον, λέγοντες ὅτι τὸ ποιῆσαι τεθνεῶτα ζῆσαι μεῖζόν ἐστι θαῦμα. καὶ ἄλλα δὲ πολλὰ ἐποίησαν σημεῖα κατέναντι ἀλλήλων, ἅτινα ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων συγγέγραπται. ὁ δὲ ἀπόστολος Πέτρος δι' εὐχῆς αὐτοῦ ἐφόνευσε τὸν Σίμωνα τὸν μάγον θελήσαντα ἀναληφθῆναι. εἶπε γὰρ ὁ Σίμων τῷ Πέτρῳ ὅτι εἶπεν ὅτι Χριστὸς ὁ θεός σου ἀνελήφθη. ἰδοὺ κἀγὼ ἀναλαμβάνομαι. καὶ εἶδεν αὐτὸν ὁ Πέτρος κουφιζόμενον διὰ τῆς μαγείας εἰς τὸν ἀέρα ἐν
μέσῳ τῆς πόλεως Ῥώμης· καὶ ηὔξατο ὁ Πέτρος καὶ κατηνέχθη C
Σίμων ὁ μάγος ἐκ τοῦ ἀέρος εἰς τὴν γῆν ἐπὶ τὴν πλατεῖαν καὶ ἐψόφησε. καὶ τὸ λείψανον αὐτοῦ κεῖται ἐκεῖ ἕως ἄρτι ὅπου ἔπεσε, καὶ ἔχει πέριξ κάγκελλον λίθινον· καὶ ἀκούει ὁ τόπος ἐκεῖνος ἔκτοτε τὸ Σιμώνιον.

Ἀκούσας δὲ Νέρων ὁ βασιλεὺς ὅτι ἐφονεύθη ὑπὸ τοῦ Πέτρου O 330
ὁ Σίμων, ἠγανάκτησε· καὶ ἐκέλευσεν αὐτὸν συσχεθέντα ἀποθα-

1. ἐλεγχθέντος Ox. 2. παλατίου Ox. 13. εἶπεν] Fort. εἶπας. ἔφης Cedrenus p. 211. A. 17. πλατεῖαν Ch., πλατίαν cod., πλατεῖαν Ox.

que, tum Simonem, Christum sese falso venditantem, tum Petrum; qui a Pilato Christi abnegati convictus fuerat, ex palatio ejici jussit.

Deinceps itaque Romae commorati sunt, de Miraculis edendis invicem certantes. Et quidem Simon Magus, Tauro magno in medium adducto, cum ei in aurem aliquid immussitasset, expiravit statim Taurus; admirantibus Simonem omnibus. Petrus vero, Deum precatus, Taurum, in vitam revocatum, domino restituit. Petro itaque primas dederunt omnes dicentes, Mortuum vitae restituere, majus esse miraculum. Sed et plurima etiam alia miracula ediderunt, invicem certantes; quae quidem scripta sunt in Actis Sanctorum Apostolorum. Caeterum Simon Magus, in coelos ascensurum se venditans, Petri Apostoli precibus occubuit. Dixerat enim Petro Simon; Tu dicis, Christum Deum tuum in Coelos assumptum fuisse: ecce me quoque in Coelos assumptum. Petrus itaque, cum in medio urbis Romae Magicis artibus sublimem eum in aërem efferri videret, Deum ipse precatus est: et repente Simon, magno cum sonitu in plateam decidens, [interiit.] Reliquiae autem ejus, eodem quo decidit loco, recondebantur; qui cancellis lapideis undique septus, exinde Simonium adhuc usque appellatur.

Nero autem Imperator, audito Simonem a Petro interfectum esse, ira commotus, Petrum quoque comprehensum occidi jussit. Petrus autem

νεῖν. καὶ ἡ μόνον ἐκρατήθη ὁ ἅγιος Πέτρος, ἐπέδωκε τὸ ἔνδυμα
τῆς ἐπισκοπῆς Ῥώμης Λίνῳ ὀνόματι, μαθητῇ αὐτοῦ· ἠκολούθει
γὰρ αὐτῷ ὅτε ἐκρατήθη. ὁ δὲ αὐτὸς ἅγιος Πέτρος γέρων ὑπῆρχε
D τῇ ἡλικίᾳ διμοιριαῖος, ἀναφάλας, κονδόθριξ, ὁλοπόλιος τὴν κάραν
καὶ γένειον, λευκός, ὑπόχλωρος, οἰνοπαὴς τοὺς ὀφθαλμούς, εὔ-
πώγων, μακρόρινος, σύνοφρυς, ἀνακαθήμενος, φρόνιμος, ὀξύ-
χολος, εὐμετάβλητος, δειλός, φθεγγόμενος ὑπὸ πνεύματος ἁγίου
καὶ θαυματουργῶν.

Καὶ ἐγένετο μετὰ τὸν ἅγιον Πέτρον τὸν ἐπίσκοπον, ἤτοι πατριάρχην, Ῥώμης ὀνόματι Λίνος, καθὼς ὁ σοφὸς Εὐσέβιος ὁ Παμφίλου ἐχρονογράφησεν.

Ὁ δὲ ἅγιος Πέτρος ὁ ἀπόστολος ἐμαρτύρησε σταυρωθεὶς κα-
τακέφαλα, τοῦ αὐτοῦ ἀποστόλου ὁρκώσαντος τοῦτο τὸν ἔπαρχον
E O 331 ὅτι Μὴ ὡς ὁ κύριός μου σταυρωθῶ. καὶ ἐτελειώθη ὁ ἅγιος Πέ-
τρος ἐπὶ τῆς ὑπατείας Ἀπρωνιανοῦ καὶ Καπίτωνος.

Ὁμοίως δὲ καὶ κατὰ τοῦ Πιλάτου ἠγανάκτησεν ὁ αὐτὸς βασιλεὺς Νέρων, καὶ ἐκέλευσεν αὐτὸν ἀποκεφαλισθῆναι, λέγων, Διὰ τί ἐξέδωκε τὸν δεσπότην Χριστὸν τοῖς Ἰουδαίοις, ἄνδρα ἄμεμπτον καὶ δυνάμεις ποιοῦντα; εἰ γὰρ ὁ αὐτοῦ μαθητὴς τοιαῦτα θαυμάσια ἐποίει, ὁποῖος ὑπῆρχεν ἐκεῖνος δυνατός;

V 109 Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας κατέφθασεν εὐθέως ἐν τῇ Ῥώμῃ
καὶ ὁ ἅγιος Παῦλος πεμφθεὶς ἀπὸ τῆς Ἰουδαίας χώρας παραστά-

2. *Λίνῳ*] „Scr. *Λίνῳ*, ex Eusebio et Nicephoro Patriarcha; uti et Auctor ipse infra habet." Ch. 4. *ἀναφαλλὰς* Ox. 10. *Λίνος* Ox. ibid. *Εὐσέβιος*] p. 375.

quamprimum comprehensus esset, successorem in Episcopatu Romano designavit Linum quendam, ex discipulis suis: quem tum quoque cum prehensus fuit, sectatorem habuit. Erat autem D. Petrus aetate provectior, statura quae mediocrem excederet, recalvaster, crine curto, capite et mento canus, colore pallente, oculis vini colorem referentibus, barbatus, nasutus, junctis superciliis, proclivis, prudens, ad iram pronus, mutabilis, meticulosus, a spiritu S. loquens et miracula edens.

Linum vero post S. Petrum, Romanae sedis Episcopum, sive Patriarcham fuisse, Eusebius Pamphili in Chronicis suis scriptum reliquit.

Sanctus autem Petrus Apostolus Martyrium passus est, in crucem actus, capite ad terram verso: Praefectum enim juramento adstrinxerat, ne eodem quo Dominus modo crucifigeretur. Factum vero hoc, Apruniano et Capitone Coss.

Pilato quoque iratus Imperator Nero, caput ei amputari jussit; eo quod Dominum Christum, virum inculpatum et mirificum, Judaeis tradidisset. Si enim, inquit, discipulus talia potuerit, quam potens tandem fuerit ipse.

Ejusdem sub imperio S. Paulus etiam ex Judaea Romam mittitur, ibi causam dicturus: Martyrium vero et ipse passus est, capite multatus,

σιμος· καὶ ἐμαρτύρησε καὶ αὐτὸς ἀποτμηθεὶς τὴν κεφαλὴν τῇ πρὸ γ' καλανδῶν ἰουλίων ἐπὶ τῆς ὑπατείας Νέρωνος καὶ Λεντούλου. καὶ ἐκέλευσεν ὁ βασιλεὺς Νέρων τὰ σώματα τῶν ἁγίων ἀποστόλων ταφῇ μὴ παραδοθῆναι ἀλλ' ἄταφα μεῖναι. ὑπῆρχε δὲ ὁ Παῦλος ἔτι περιὼν τῇ ἡλικίᾳ κονδοειδής, φαλακρός, μιξοπό- O 332 λιος τὴν κάραν καὶ τὸ γένειον, εὔρινος, ὑπόγλαυκος, σύνοφρυς, λευκόχρους, ἀνθηροπρόσωπος, εὐπώγων, ὑπογελῶντα ἔχων τὸν χαρακτῆρα, φρόνιμος, ἠθικός, εὐόμιλος, γλυκύς, ὑπὸ πνεύματος ἁγίου ἐνθουσιαζόμενος καὶ ἰώμενος.

Ἔπεμψε δὲ κατὰ τῆς Ἰουδαίας καὶ τῆς Ἱερουσαλὴμ ὁ αὐτὸς B βασιλεὺς Νέρων, καὶ πᾶσι κακῶς ἐχρήσατο, πολλοὺς φονεύσας στρατιωτικῇ συμβολῇ, ὅτι τυραννίδι φερόμενοι ἐξεφώνησαν ὑβριστικὰς φωνὰς κατὰ τοῦ Νέρωνος, διότι ἀπεκεφάλισε τὸν Πιλᾶτον ὡς εἰς ἐκδίκησιν Χριστοῦ· καὶ ἦλθεν εἰς αὐτὸν οὐ μὴν ἀλλὰ ὅτι καὶ αὐθεντήσαντες τὸν ἡγεμόνα ἐσταύρωσαν τὸν Χριστόν· καὶ διὰ τοῦτο ἠγανάκτει κατ' αὐτῶν ὡς τυράννων, καὶ ἐσφάγησαν τότε ὑπὸ στρατιωτῶν ἐν τῇ συμβολῇ ὅ τε Ἄννας καὶ ὁ Καϊάφας.

Παρέλαβε δὲ ὁ αὐτὸς Νέρων ἐν τῷ βασιλεύειν αὐτὸν χώραν ἄλλην ἐν τῇ Πόντῳ, πέμψας Πολέμωνα στρατηγὸν αὐτοῦ· καὶ ἐποίησεν αὐτὴν ἐπαρχίαν, καλέσας αὐτὴν Πόντον Πολεμωνιακόν. C

Ὁ δὲ αὐτὸς Νέρων ἔχαιρε τῷ Βενέτῳ μέρει πολύ. O 333

Ἐπὶ δὲ τῶν χρόνων τῆς βασιλείας αὐτοῦ Λουκανὸς ὁ σοφώτατος ἦν παρὰ Ῥωμαίοις μέγας καὶ ἐπαινούμενος. ἐπὶ δὲ τῆς

2. Λεντούλλου Ox. 5. φαρακλός Ox. 7. λευκόχρους Ch., λευκόχλους Ox. 19. ἄλλην Ch., ἄλην Ox. 20. Πολεμωνιακόν Ch., Πολεμονιακόν Ox. 23. Ῥωμαίοις] Ῥωμαίους Ox.

III Kal. Julias, Nerone et Lentulo Coss. Corpora autem Sanctorum Apostolorum insepulta projici mandavit Nero Imperator. Paulus vero, dum in vivis esset, statura erat curta, calvus, subcanus capite mentoque, naso decoro, subcaesius, superciliis junctis, cute candida, vultu florido, barbatus, aspectu ridibundo, prudens, moribus probis, affabilis, blandus, Spiritu Sancto afflatus, morbosque sanandi potentia donatus.

Nero autem Imperator, exercitu adversus Judaeos et Hierosolymam misso, pessime illos tractavit; plurimos etiam neci dedit: ad hoc incitatus, quod rebelles ipsum opprobriis lacessiissent, ob Pilatum, Christi in vindictam, capite multatum: sed et pro certo etiam acceperat, Praefectum, Judaeorum ipsorum importunitate impulsum, Christum cruci affixisse. Hac Judaeorum strage perierunt Annas et Caiphas.

Idem Imperator Nero, misso ex Ducibus suis Polemone, aliam Ponti regionem captam, in Provinciae formam redegit, et Pontum Polemoniacum appellavit.

Nero autem Factioni Venetae multum favebat.

Temporibus autem Neronis imperantis, floruit sapientissimus Lucanus, Poeta magni nominis apud Romanos. Caeterum Itorico et Tolpillia-

ὑπατείας Ἰτορικοῦ καὶ Τολπιλλιανοῦ τοῦ καὶ Τροχέλου ἀφανὴς ἐγένετο Νέρων ὁ βασιλεὺς καὶ ἐτελεύτα, τῶν ἱερέων τῶν Ἑλλήνων κατασκευασάντων αὐτῷ διὰ πότου δόσεως, ὄντος τοῦ δόγματος τῶν Ἐπικουρείων τοῦ μετ' αὐτὸν λαβόντος παρὰ τῶν ἱερέων σύνταξιν τῆς βασιλείας καὶ εἰσελθόντος ἰδεῖν αὐτόν, ὡς ἄῤῥωστον, καὶ κεντήσαντος αὐτὸν ἐν τῷ παλατίῳ. καὶ τελευτᾷ ὁ αὐτὸς Νέρων, ὢν ἐνιαυτῶν ξθ'.

D Μετὰ δὲ τὴν βασιλείαν Νέρωνος ἐβασίλευσε Γαλβᾶς Αὔγουστος μῆνας ζ'. ἦν δὲ μακρός, γενναῖος, λευκόχρους, ὑπόστραβος, γρυπόρυγχος, μιξοπόλιος, μανικός. ἐπὶ δὲ τῆς βασιλείας
O 334 τοῦ αὐτοῦ Γαλβᾶ ταφῇ παρεδόθησαν τὰ σώματα τῶν ἁγίων ἀποστόλων κατὰ κέλευσιν τοῦ αὐτοῦ βασιλέως· ἐν ὁράματι γὰρ ἐκελεύσθη δοῦναι τὰ σώματα τῶν ἁγίων ἀποστόλων εἰς ταφήν. καὶ τελευτᾷ ὁ Γαλβᾶς ἰδίῳ θανάτῳ ἐξαίφνης φλεβοτομηθείς, ὢν ἐνιαυτῶν μθ'.

Μετὰ δὲ τὴν βασιλείαν Γαλβᾶ ἐβασίλευσε Λούκιος Ὄθων μῆνας γ'. ἦν δὲ κονδοειδής, πλατύς, γενναῖος, ἁπλόθριξ, μι-
E κρόφθαλμος, ὑπόσιμος, ψελλός. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ὁ ἅγιος Ἰάκωβος ὁ ἀπόστολος, ὁ ἐπίσκοπος Ἱεροσολύμων καὶ πατριάρχης, ὃν ἐνεθρόνισεν ὁ ἅγιος Πέτρος ἀντὶ ἑαυτοῦ ἀνιὼν ἐπὶ

1. Ἰτορικοῦ καὶ Τολπιλλιανοῦ, τοῦ καὶ Τροχέλου] „Chr. Alex. habet, Ἰταλικοῦ καὶ Τραχάνου. Nero e medio sublatus est C. Galerio Trachalo Turpiliano et C. Silio Italico Coss. Scribendum itaque, Ἰταλικοῦ καὶ Τυρπιλλιανοῦ, τοῦ καὶ Τραχάλου." Ch. 4. Ἐπικουρίων Ox. 8. 14. Γαλβὰς Ox. 18. ὑπόσιμος, ψελλός Ch., ὑπόσημος, ψαλός Ox.

no, sive Trochelo Coss. Nero Imperator, e medio sublatus, interiit: Conjurationem adversus eum agitantibus, ex haustu veneni, Graecorum sacerdotibus. Is enim, quem in regno successorem sacerdotes designaverant, dogmatis erat Epicureorum; qui palatium ingressus, tanquam visurus Imperatorem aegrotantem eum confodit. Nero itaque diem supremum obiit, annos natus LXIX.

Excepit Neronem Galba, qui regnavit menses VII. Erat autem procerus, generosus, colore candido, substrabus, ungues habens aduncos, subcanus, ad insaniam pronus. Hujus autem sub Imperio, Sanctorum Apostolorum corpora, jussu ipsius Imperatoris sepulturae tradita sunt: per insomnium enim, ut hoc faceret, monitus est. Galba autem annum agens XLIX, ex venae sectione, subito mortuus est.

Galbam excepit Lucius Otho; qui imperavit Menses III. Erat hic statura brevi, lato corpore, fortis, crine molli et porrecto, oculis parvis, subsimus, balbus. Hujus sub Imperio D. Jacobus Apostolus, Hierosolymarum Episcopus et Patriarcha, a B. Petro, cum Romam abiit, sui in

Ῥώμην, ἐτελεύτησε· καὶ παρέλαβε τὸ σχῆμα τῆς ἐπισκοπῆς Ἱεροσολύμων Συμεὼν ὁ καὶ Σίμων καὶ ἐγένετο πατριάρχης.

Τελευτᾷ δὲ ὁ αὐτὸς Ὄθων ἐτῶν νγʹ ἀῤῥωστήσας.

Μετὰ δὲ τὴν βασιλείαν Ὄθωνος ἐβασίλευσε Βιτέλλιος Αὔ- V 110
γουστος ἔτη θʹ καὶ μῆνας ηʹ. ἦν δὲ διμοιριαῖος, εὔστηθος, γλαυ- O 335
κός, πυῤῥάκης, δασυπώγων, εὐόφθαλμος, δειλός. ἐπὶ δὲ τῆς βασιλείας εὐθέως ἔπαθεν ὑπὸ θεομηνίας Νικομήδεια, πόλις μεγάλη, τῆς Βιθυνίας μητρόπολις. καὶ πολλὰ αὐτοῖς τοῖς περισωθεῖσιν ἐχαρίσατο καὶ τῇ πόλει εἰς ἀνανέωσιν ὁ αὐτὸς βασιλεύς· ἣν γὰρ καὶ πρῴην παθοῦσα ὑπὸ θεομηνίας καὶ ἐστραμμένη· καὶ ἀνήγειρεν αὐτήν.

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Βιτελλίου Καίσαρος ἐτυράννησαν οἱ Ἰουδαῖοι καὶ ἐφόνευσαν Κυρήνιον τὸν ἄρχοντα αὐτῶν λιθοβολήσαντες αὐτόν. τῷ δὲ λεʹ ἔτει μετὰ τὴν τοῦ σωτῆρος B
ἡμῶν καὶ θεοῦ ἀνάληψιν ἐπεστράτευσε κατ᾽ αὐτῶν ὁ Βιτέλλιος βασιλεύς, πέμψας στρατηγὸν ἑαυτοῦ Οὐεσπασιανὸν καὶ Τίτον υἱὸν αὐτοῦ. καὶ ἐπέστησαν τῇ Ἰουδαίᾳ χώρᾳ, πολεμοῦντες αὐτὴν καὶ τὴν Ἱερουσαλήμ. καὶ ἐν τῷ πολεμεῖν αὐτὸν ἀπέθανεν ἐν τῇ Ῥώμῃ ὁ Βιτέλλιος βασιλεὺς νόσῳ βληθείς, ὢν ἐνιαυτῶν μηʹ.

Καὶ μετ᾽ αὐτὸν ἀνηγορεύθη βασιλεὺς ὁ θειότατος Οὐεσπα- O 336
σιανός, καὶ ἔστεψεν αὐτὸν ὁ στρατός, ἐπὶ τῆς ὑπατείας Ῥούφου καὶ Καπιτιανοῦ. ἦν δὲ κονδοειδής, φαλακρός, προγάστωρ, πολιός, πυῤῥάκης, ἔχων οἰνοπαεῖς ὀφθαλμούς, πλάτοψις, ὀργί-

13. Κυρήνιον Chron. p. 246. C, Κυρηναῖον Ox.

locum substitutus, interiit: Hierosolymarum vero Episcopatum suscepit Symeon, qui et Simon, ibique sedit Patriarcha.

Otho vero morbo correptus, interiit; annos natus LIII.

Othoni successit in Imperio Vitellius Augustus: qui regnavit annos IX et Menses VIII. Erat vero statura mediocrem superante, pectore firmo, oculis caesiis et pulchris, rufus, barba hirsuta, meticulosus. Hujus imperii sub initio divinam iram rursus experta est Nicomedia, urbs magna et Bithyniae Metropolis: cum prius terrae motibus concussa, fere eversa funditus fuisset. Imperator autem incolis superstitibus et urbi de novo instaurandae pecuniam plurimam largitus est.

Vitellio autem imperante, Judaei novis rebus studentes, Praefectum Cyrenaeum, lapidibus obrutum, neci dederunt. Imperator itaque anno XXXV post Deum et Salvatorem nostrum in coelos assumptum contra eos arma movit, missis Vespasiano et filio ejus Tito ducibus; qui terram Judaeam et Hierosolymas hostiliter invadentes devastarunt. Vitellius interim, post bellum hoc coeptum morbo correptus, Romae moritur, annum agens XLVIII.

Post hunc Imperator ab exercitu salutatus est divinissimus Vespasianus; Rufo et Capitiano Coss. Erat hic statura curta, calvus, ventriosus, canus, colore rufo, oculis vini colorem referentibus, vultu patulo, iracun-

λος. καὶ λύσας Τίτον τὸν ἑαυτοῦ υἱὸν πολεμεῖν τὴν Ἰουδαίαν
C χώραν ἦλθεν ἐπὶ τὴν Ῥώμην, καὶ ἐβασίλευσεν ἔτη θ' καὶ μῆνας ι'.
ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐγένετο διωγμὸς μέγας τῶν χριστιανῶν
ἐπὶ τῆς ὑπατείας Δεκίου καὶ Ῥουστικίου. τῷ δὲ λη' ἔτει μετὰ τὸ
ἀναληφθῆναι τὸν σωτῆρα Χριστὸν ὁ Τίτος τὴν Ἰουδαίαν παρέλαβε καὶ τὴν Ἱερουσαλὴμ ἐπὶ τῆς ὑπατείας Κομμόδου καὶ
Ῥούου, βασιλεύοντος τοῦ πατρὸς αὐτοῦ Οὐεσπασιανοῦ· καὶ
ἐπόρθησε τὴν Ἱερουσαλὴμ καὶ πᾶσαν τὴν Παλαιστίνην καὶ τὸ ἱερὸν τῶν Ἰουδαίων κατέστρεψεν ἐν τῇ αὐτῇ τῆς ἑορτῆς ἡμέρᾳ, ὅτε
παρέλαβε τὴν πόλιν, καὶ ἀπώλεσε ψυχῶν μυριάδας ρι', ξίφεσιν
O 337 αὐτοὺς κατακόψας· ἄλλας δὲ μυριάδας ιε' διαπέπρακεν αἰχμα-
D λώτων νεανίσκων καὶ παίδων ἀῤῥενικῶν καὶ παρθένων κορασίων, καθὼς καὶ Ἰώσηπος ὁ σοφώτατος συνεγράψατο· Ἑβραῖος
γὰρ ὑπῆρχε καὶ παρῆν ἐν τῷ πολέμῳ. καὶ πάσας δὲ τὰς ἐπαρχίας τῆς Ἰουδαίας ἀπώλεσεν ὁ Τίτος. ὁ δὲ σοφὸς Εὐσέβιος ὁ
Παμφίλου συνεγράψατο οὕτως, ὅτι ἐν τῇ ἑορτῇ αὐτῶν τὸν Χριστὸν ἐσταύρωσαν οἱ Ἰουδαῖοι καὶ ἐν τῇ αὐτῇ ἑορτῇ πάντες ἀπώλοντο, τοῦ σωτῆρος ἐκδεδωκότος αὐτούς. τρεῖς δὲ μετὰ ταύτης πορθήσεις εἰσὶ τῆς Ἱερουσαλήμ, καθὼς ὁ σοφώτατος Εὐσέβιος συνεγράψατο.

Ὁ δὲ Τίτος θριαμβεύσας τὴν νίκην ἀπῆλθεν ἐπὶ τὴν Ῥώμην· Οὐεσπασιανὸς δὲ ἐκ τῆς Ἰουδαϊκῆς πραίδας ἔκτισεν ἐν τῇ Ἀντιο-

3. αὐτοῦ Ch., ἑαυτοῦ Ox. 5. ὁ] ὁ δὲ Ox. 7. Ῥούου] Ῥούφου Ch. *ibid.* αὐτοῦ] αὐτοῦ Ox. 13. Ἰώσηπος] Conf. Bel. Iud. VI. 9. et Mai. ad Euseb. p. 376. 18. τρεῖς — πορθήσεις εἰσί Schurzfleisch. Notit. Bibl. Vinar. p. 56., τρὶς — πορθηθεῖσης Ox.

dus. Belli autem Judaici cura Tito filio commissa, ipse Romam profectus est: ubi imperavit annos IX et Menses X. Hujus sub imperio, Christiani persecutionem gravem perpessi sunt, Decio et Rusticio Coss. Anno autem XXXVIII post Christum Salvatorem in Coelos assumptum, Commodo et Rufo Coss. Imperatoris Vespasiani filius Titus, Judaeam, Hierosolymas, totamque adeo Palaestinam occupatam vastavit; urbeque ipso Festi die capta, Judaeorum templum evertit: undecies autem centena millia Judaeorum gladio interfecit; centum vero et quinquaginta millia juniorum utriusque sexus hastae subjecit; Judaeae quoque Praefecturas omnes sustulit: uti testatur sapientissimus Josephus Judaeus, qui et ipse huic bello interfuit. Sed et memoriae prodidit etiam sapiens Eusebius Pamphili, Judaeos omnes, eodem ipso Festo, exitio datos fuisse, quo Christum cruci affixerant; Salvatore nostro illos in manus hostium suorum tradente. Tertia vero haec est Hierosolymarum devastatio; uti idem sapientissimus Eusebius memoriae prodidit.

Titus autem, triumpho de Judaeis celebrato, Romam reversus est. Vespasianus autem, ex praeda Judaica, ante Antiochiae magnae portam,

χείᾳ τῇ μεγάλῃ τὰ λεγόμενα Χερουβὶμ πρὸ τῆς πύλης τῆς πόλεως.
ἐκεῖ γὰρ ἔπηξε τὰ Χερουβὶμ τὰ χαλκᾶ ἃ εὗρε Τίτος ὁ αὐτοῦ υἱὸς ἐν E
τῷ ναῷ Σολομῶντος πεπηγμένα, καὶ ὅτε τὸν ναὸν ἔστρεψεν, ἀφεί-
λατο αὐτὰ ἐκεῖθεν καὶ ἐν Ἀντιοχείᾳ αὐτὰ ἤνεγκε σὺν τοῖς Σεραφίμ,
θριαμβεύων τὴν κατὰ Ἰουδαίων γενομένην νίκην ἐπὶ τῆς αὐτοῦ βα-
σιλείας, [στήσας ἄνω στήλην χαλκῆν] εἰς τιμὴν τῇ σελήνῃ μετὰ τεσ- O 338
σάρων ταύρων προσεχόντων ἐπὶ τὴν Ἱερουσαλήμ· νυκτὸς γὰρ αὐτὴν
παρέλαβε λαμπούσης τῆς σελήνης. ἔκτισε δὲ καὶ τὸ θέατρον Δάφνης V 111
ἐπιγράψας ἐν αὐτῷ, Ἐξ πραίδα Ἰουδαία. ἦν δὲ πρῴην ὁ τοῦ αὐ-
τοῦ θεάτρου τόπος συναγωγὴ τῶν Ἰουδαίων· καὶ πρὸς ὕβριν αὐ-
τῶν τὴν συναγωγὴν αὐτῶν λύσας ἐποίησε θέατρον, στήσας ἑαυ-
τῷ ἄγαλμα μαρμάρινον ἐκεῖ, ὅπερ ἕως τῆς νῦν ἵσταται.

Ἔκτισε δὲ καὶ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἐκ τῆς αὐτῆς Ἰουδαϊκῆς πραίδας ὁ αὐτὸς Οὐεσπασιανὸς ᾠδεῖον μέγα πάνυ, θεάτρου ἔχον διάστημα μέγα, ὄντος καὶ αὐτοῦ τοῦ τόπου πρῴην συναγωγῆς τῶν Ἰουδαίων.

Ἐποίησε δὲ καὶ ἐπαρχίαν Μακεδονίαν δευτέραν, ἀπὸ τῆς πρώ- B
της αὐτὴν ἀπομερίσας.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔπαθεν ὑπὸ θεομηνίας ἡ Κόρινθος, μητρόπολις τῆς Ἑλλάδος, μηνὶ Ἰουνίῳ τῷ καὶ δαισίῳ κ', ἑσπέρας βαθείας. καὶ ἐχαρίσατο τοῖς ζήσασι καὶ τῇ πόλει πολλά. ἔκτισε δὲ καὶ εἰς Παννονίαν καὶ εἰς Κομμαγενίαν τὰς ἐπαρχίας

6. εἰς τιμὴν τῇ σελήνῃ] „Supplendum ex Chr. Alex. στήσας ἄνω στήλην χαλκῆν, εἰς τιμὴν τῆς σελήνης.“ Ch. V. Chron. p. 247. C. 15. ἔχοντος] „Forte scr. ἔχον.“ Ch. 20. Δεσίῳ Ox.

fabricam illam, quae *Cherubim* appellatur, erexit. Ibi enim posuit Cherubinos illos aereos, quos una cum Seraphinis, everso Salomonis templo, Titus filius inde avexerat et ad Antiochiam, de Judaeis devictis triumphum ibi acturis deportaverat: sed et columnam etiam aeream Lunae posuit, cum Tauris quatuor Hierosolymam respicientibus: eo quod urbem internoctu cepisset, Luna illucescente. Daphnes etiam Theatrum condidit, cum hac Inscriptione: *Ex praeda Judaca.* Quo vero loco Theatrum condidit, olim stetit Synagoga Judaeorum; qua eversa, Theatrum ibidem per contumeliam excitavit; statua etiam sua eodem loco ex Marmore erecta; quae ad hunc usque diem ibi visitur.

Idem Vespasianus in Caesarea quoque Palaestinae Odeum plane amplum et Theatri instar, ex Judaeorum spoliis, eodem etiam loco, quo Judaeorum antea steterat Synagoga, extruxit.

Macedoniam vero secundam, a prima separans, in Provinciam fecit.

Ejusdem sub Imperio, divinam iram passa est Corinthus, Helladis Metropolis, Desii, sive Junii xx, nocte intempesta: incolis itaque superstitibus, urbique instaurandae, multa largitus est. Multa etiam per Pannoniam et Comagenam Provincias extruxit; Europam etiam a Thracia

O 339 πολλά. καὶ τὴν Εὐρώπην δὲ ἀπὸ Θρᾴκης ἐμέρισε, κτίσας Ἡρά-
κλειαν πόλιν τὴν πρώην λεγομένην Πείρινθον· ἥντινα ἐποίησε
μητρόπολιν, δοὺς αὐτῇ ἄρχοντα. ἔκτισε δὲ καὶ ἐν Ἀντιοχείᾳ τῇ
μεγάλῃ πλησίον τοῦ θεάτρου ἱερόν, ὃ ἐπεκάλεσε τῶν Ἀνέμων.

C Νόσῳ δὲ βληθεὶς καὶ πάρετος γενόμενος ἐτελεύτα, ὢν ἐνιαυ-
τῶν οα΄.

Μετὰ δὲ τὴν βασιλείαν αὐτοῦ ἐβασίλευσε Τίτος ὁ υἱὸς αὐτοῦ
O 340 ἔτη β΄. ἦν δὲ μακρός, λεπτός, εὔχροος, ἁπλόθριξ, σπανός,
μικρόφθαλμος, κονδόθριξ. καὶ πάθει ἀνιάτῳ βληθεὶς ἀπέ-
θανεν, ὢν ἐνιαυτῶν μβ΄.

Μετὰ δὲ τὴν βασιλείαν Τίτου ἐβασίλευσεν ὁ θειότατος Δο-
μετιανὸς ἔτη ιε΄ καὶ μῆνας β΄. ἦν δὲ μακρός, λεπτός, λευκός,
ξανθός, κονδόθριξ, γλαυκός, ὑπόκυρτος, φιλόσοφος ἄκρος.
ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας διωγμὸς χριστιανῶν ἐγένετο· ὅστις
D καὶ τὸν ἅγιον Ἰωάννην τὸν θεολόγον ἀνήνεγκεν ἐν τῇ Ῥώμῃ καὶ
ἐξήτασεν αὐτόν. καὶ θαυμάσας τοῦ αὐτοῦ ἀποστόλου τὴν σο-
φίαν ἀπέλυσεν αὐτὸν λάθρᾳ ἀπελθεῖν εἰς Ἔφεσον, εἰπὼν αὐτῷ,
Ἄπελθε καὶ ἡσύχασον ὅθεν ἦλθες. καὶ ἐλοιδορήθη· καὶ ἐξώρι-
σεν αὐτὸν εἰς Πάτμον. πολλοὺς δὲ ἄλλους χριστιανοὺς ἐτιμω-
ρήσατο, ὥστε φυγεῖν ἐξ αὐτῶν πλῆθος ἐπὶ τὸν Πόντον, καθὼς
Βώττιος ὁ σοφὸς χρονογράφος συνεγράψατο κατ' αὐτῶν.

O 341 Ὁ δὲ αὐτὸς βασιλεὺς Δομετιανὸς ἐφίλει τὸν ὀρχηστὴν τοῦ

5. πάρετος Ch., πάραιτος Ox. 16. ἐξήτασεν Ch., ἐξαίτασεν Ox.

sejungens, ex Perintho antea vocata, Heracleam urbem condidit; Praefectoque ei dato, Metropolim esse voluit. Templum etiam Antiochiae Magnae, quod *Ventorum* appellavit, juxta Theatrum extruxit.

Morbo deinde correptus, membrorum vi jam resoluta, diem suum obiit, annos natus LXXI.

Hunc excepit Titus filius; qui imperavit annos II. Erat vero procerus, gracilis, colore venusto, crine lento, brevique et raro, oculis parvis. Morbo autem insanabili correptus, fatis concessit, annum agens XLII.

Post Titum in Imperio successit divinissimus Domitianus; qui regnavit annos XV et menses II. Erat hic statura procera, gracilis, candidus, crine rufo curtoque, oculis caesiis, subcurvus, summusque Philosophus. Hujus sub imperio, Christianorum erat Persecutio: Imperator autem Romam adduci jussit D. Joannem Theologum; uti examini eum subjiceret: miratus autem Apostoli sapientiam, Ephesum redeundi clam ei copiam fecit, dicendo: Ad locum unde venisti in pace redeas. Ob hoc autem exprobratus, in Patmum eum relegavit. Sed et alios etiam ex Christianis quamplurimos suppliciis affecit: itaque fuga sibi consulentes, in Pontum se receperunt: sicut haec a Bottio sapiente Chronographo literis tradita sunt.

Imperator autem Domitianus summe charum sibi habuit Paridem quem-

Πρασίνου μέρους τῆς Ῥώμης τὸν λεγόμενον Πάριδα. περὶ οὗ καὶ ἐλοιδορεῖτο ὑπὸ τῆς συγκλήτου Ῥώμης καὶ Ἰουβεναλίου τοῦ κωμικοῦ τοῦ Ῥωμαίου, ὡς χαίρων εἰς τὸ Πράσινον. ὅστις βασι- E *λεὺς ἐξώρισε τὸν αὐτὸν Ἰουβενάλιον τὸν ποιητὴν ἐν Πενταπόλει ἐπὶ τὴν Λιβύην, τὸν δὲ ὀρχηστὴν πλουτίσας ἔπεμψεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ ἐπὶ τὸ ἐκεῖ αὐτὸν οἰκεῖν ἔξω τῆς πόλεως. ὅστις Πάρις ὀρχηστὴς ἐκεῖ ἀπελθὼν ᾤκει ἔξω τῆς αὐτῆς πόλεως, κτίσας ἑαυτῷ οἶκον προάστειον καὶ λουτρόν, ὅπερ ἐστὶν ἕως τῆς νῦν, τὸ λεγόμενον Παράδεισος καὶ ὁ οἶκος· κἀκεῖ τελευτήσας κεῖται ἐν σορῷ ὄπισθεν τοῦ οἴκου ἐν τοῖς κήποις αὐτοῦ.*

Ὁ δὲ αὐτὸς Δομετιανὸς ἔκτισεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ δη- V 112 *μόσιον λουτρὸν τὸ λεγόμενον τῆς Μηδείας, διότι ἄγαλμα ἔστησεν ἐν αὐτῷ θαυμαστὸν τῇ Μηδείᾳ· καὶ οὕτως αὐτὸ τὸ δημόσιον* O 342 *λουτρὸν ἐκάλουν οἱ πολῖται καὶ οὐκέτι τὸ Δομετιανόν· τὸ δὲ αὐτὸ δημόσιον ἦν κεκτισμένον παρὰ τὸ ὄρος πλησίον τοῦ μονομαχίου καὶ τοῦ ἱεροῦ τῆς Ἀφροδίτης. ἔκτισε δὲ ἐκεῖ ὁ αὐτὸς βασιλεὺς καὶ ἱερὸν τοῦ Ἀσκληπιοῦ.*

Ἦν δὲ τοῖς χρόνοις τῆς βασιλείας τοῦ αὐτοῦ Δομετιανοῦ ὁ σοφώτατος Ἀπολλώνιος ὁ Τυανεύς· καὶ ἤκμαζε περιπολεύων καὶ πανταχοῦ ποιῶν τελέσματα εἰς τὰς πόλεις καὶ εἰς τὰς χώρας. ὅστις ἀπὸ τῆς Ῥώμης ἐξελθὼν κατέλαβε τὸ Βυζάντιον· καὶ εἰσελθὼν εἰς Βυζούπολιν, τὴν νῦν λεγομένην εὐτυχῶς Κωνσταντι- B

5. *πλουτίσας* Suidas v. *Ἰουβενάλιος*, *πλουτήσας* Ox. 9. *Παράδεισος*] *Παρίδειον* (praestat *Πάριδος*) ὡς Franckius Quaest. altera de Iuvenalis Vita p. 25. 26. 17. *Ἀσκληπίου* Ox. 19. *ἔκμαζε* Ox.

dam, Prasinae Factionis Saltatorem: cumque ob hoc a Senatu, ipsoque etiam Juvenale Poeta probris lacessitus esset, Juvenalem in Pentapolim Libyae relegavit; Saltatorem vero muneribus onustum, Antiochiam magnam adire, ibique extra urbem habitare jussit. Paris itaque Saltator Antiochiam profectus est, extraque urbem extructis sibi suburbicanis aedibus Balneoque, ibi habitavit. Aedes autem hae usque adhuc visuntur: *Paradisus* et *Domus*, vocatae. Ibi etiam in hortis, aedes illas a tergo respicientibus, mortuus Paris tumulo jacet conditus.

Idem Domitianus Antiochiae magnae publicum extruxit Balneum, *Medeae*, dictum: eo quod stupendum ibi Medeae simulachrum in medio collocasset. Hujus itaque a nomine Antiochenses, non autem *Domitianum* appellitarunt. Balneum autem hoc juxta Monomachium, Venerisque templum positum est. Extruxit etiam Imperator idem Antiochiae templum Aesculapio.

Domitiani sub Imperio floruit sapientissimus ille Apollonius Tyanensis; qui peragratis omnibus fere regionibus atque urbibus, Telesmata ubique fecit. Hic Roma relicta, Byzantium pervenit: et ingressus illam olim Byzi urbem, nunc vero majori sua Fortuna, Constantinopolim, Ci-

νούπολιν, ἐποίησε καὶ ἐκεῖ πολλὰ τελέσματα παρακληθεὶς ὑπὸ τῶν Βυζαντίων, τὸ τῶν πελαργῶν καὶ τὸ τοῦ Λύκου ποταμοῦ τοῦ κατὰ μέσου τῆς πόλεως παρερχομένου καὶ τὸ τῆς χελώνης καὶ τὸ τῶν ἵππων καὶ ἄλλα τινὰ θαυμαστά· καὶ λοιπὸν ἀπὸ τοῦ Βυζαντίου ἐξελθὼν ἐποίει εἰς τὰς ἄλλας πόλεις ὁ αὐτὸς Ἀπολ-
O 343 λώνιος τελέσματα. καὶ ἦλθεν ἐπὶ τὴν Συρίαν ἀπὸ Τυάνων, καὶ εἰσῆλθεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ· καὶ ᾔτησαν αὐτὸν οἱ Ἀντιοχεῖς κτήτορες ποιῆσαι κἀκεῖ τελέσματα περὶ ὧν ἐδέοντο. καὶ ἐποίησεν εἰς τὸν βοῤῥᾶν ἄνεμον, θήσας τὸ αὐτὸ τέλεσμα κατὰ τὴν ἀνατολικὴν πόρταν. ὁμοίως δὲ ἐποίησε τέλεσμα ἐν αὐτῇ
C τῇ πόλει καὶ διὰ τοὺς σκορπίους, πρὸς τὸ μὴ τολμᾶν αὐτοὺς πλησιάζειν τῇ χώρᾳ· καὶ ἔθηκε τὸ αὐτὸ τέλεσμα ἐν μέσῳ τῆς πόλεως, ποιήσας χαλκοῦν σκορπίον καὶ χώσας αὐτόν, πήξας ἐπάνω κίονα μικρόν. καὶ ἐγένοντο ἀφανεῖς οἱ σκορπίοι ἐκ τῆς ἐνορίας Ἀντιοχείας πάσης. ἐποίησε δὲ καὶ ἄλλα πολλὰ ἐκεῖ. ᾔτησαν δὲ αὐτὸν οἱ πολῖται ἵνα ποιήσῃ τέλεσμα πρὸς τοὺς κώνωπας, εἰς τὸ μὴ ἔχειν κώνωπας τὴν αὐτὴν πόλιν Ἀντιόχειαν. καὶ ἐποίησε, κελεύσας αὐτοῖς ἵνα τῇ ἑβδόμῃ τοῦ δαισίου τοῦ καὶ ἰουνίου μηνὸς ἐπιτελῆται ἐν αὐτῇ Ἀντιοχείᾳ τῆς Συρίας τὸ ἱππικὸν τὸ ἀπὸ Γράστης τοῦ αὐτοῦ δαισίου μηνός· ἀλλὰ τῇ νεομηνίᾳ τοῦ δαισίου μηνὸς θήσας τὸ τέλεσμα, τῇ ἑβδόμῃ τοῦ αὐτοῦ μηνὸς ἐπιτρέψας
D ἵνα πάντες ἐν τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἱπποδρομίου τῆς Γράστης βαστάζουσιν ἐπάνω καλάμων ὁλόσφυρον στηθάριν μολιβοῦν, ἔχον-

2. πελάργων Ox. 3. κατὰ μέσου] κατὰ μέσον Chron. Pasch. p. 250. B. Conf. supra p. 84. E. infra 122. B. ibid. τὸ Ch., Chron., τοῦ Ox. 9. Βοῤῥᾶν Ox. 18. 20. Δεσίου Ox.

vium rogatu, Telesmata ibi plurima confecit; nempe adversus Ciconias et Lycum fluvium, qui urbem secat mediam, Testudines item et equos [ferocientes:] alia etiam mirabilia operatus est. Byzantio deinde discedens, aliis etiam in urbibus Telesmata confecit. Tyana vero Syriam profectus, Antiochiam Magnam pervenit, ubi a Primoribus urbis rogatus est, uti illic etiam Telesmata contra quaedam urbis incommoda conficeret. Unum itaque adversus Ventum Aquilonarem paravit; quod ad portam urbis Orientalem collocavit. Telesma etiam aliud eadem urbe adversus Scorpios effecit, ad eosdem a regione illa propellendos. Fuso enim Scorpio aereo, et urbe media sub terra recondito, columnam ei parvam superimposuit; quo facto evanuerunt Scorpii, nec urbem partesve vicinas ultra infestarunt. Plurima item alia ibidem confecit. Rogatus vero a civibus Antiochenis; uti Telesma adversus Culices, urbem suam infestantes, conficeret; votis eorum annuit. Telesmate itaque, ipso Novilunii die mensis Junii confecto; uti mensis ejusdem die septimo, Equestre Certamen, Grastense dictum, menseque Junio agitari solitum, celebraretur ad hunc modum. Dicto Solennitatis Grastensis die, mandavit,

τα λεμὶν τοῦ Ἄρεως, καὶ ὑποκάτω τοῦ καλάμου σκουτάριον κρε- O 344
μάμενον ἀπὸ δέρματος ῥουσίου ἐντεῦθεν, κἀκεῖθεν δὲ παραμήριν ἀπὸ καλαμίου κρεμάμενον ὡσαύτως, λινῷ ῥάμματι δεδεμένα, εἰρηκὼς αὐτοῖς κράζειν εἰσελαύνοντας καὶ λέγειν, Ἀκώνωπα τῇ πόλει, καὶ μετὰ τὸ ἀπολῦσαι τὸ ἱπποδρόμιον ἕκαστον ἀποτίθεσθαι αὐτὸ εἰς τὸν ἴδιον οἶκον. καὶ οὐκέτι ἐφάνη ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ κώνωψ.

Ἐν τῷ δὲ περιέρχεσθαι τὸν αὐτὸν Ἀπολλώνιον τὸν Τυανέα καὶ ἱστορεῖν τὴν αὐτὴν Ἀντιόχειαν μετὰ τῶν κτητόρων τῆς πόλεως τοποθεσίαν, εἶδεν ἐν μέσῳ τῆς αὐτῆς πόλεως κίονα ἑστῶτα E
πορφυροῦν καὶ μὴ ἔχοντα ἐπάνω τί ποτε, ἀλλὰ καὶ αὐτὸν τὸν κίονα ὑπὸ τυφωνικοῦ πυρὸς φλογισθέντα. καὶ ἐπερωτήσας περὶ αὐτοῦ, τί ἐστι τοῦτο, ἔμαθε παρ' αὐτῶν ὅτι μετὰ τὸ πάθος τῆς πόλεως τὸ ἐπὶ Γαΐου Καίσαρος Δεββόριός τις φιλόσοφος τελεστὴς ἐποίησε τὸ τέλεσμα τοῦτο ὥστε δονουμένην τὴν πόλιν ὑπὸ σεισμοῦ μὴ πίπτειν, στήσας τὸν κίονα καὶ ὑπεράνω αὐτοῦ στηθάριν μαρμάρινον, καὶ ἐν τῷ στήθει αὐτοῦ ἔγραφεν, Ἄσειστα, V 113
ἄπτωτα. καὶ τυφωνικοῦ πυρὸς ὑπὸ τῆς ἀστραπῆς γενομένου, O 345
κανθὲν τὸ ἐπάνω τοῦ κίονος στηθάριν ἔπεσε, καὶ δεδοίκαμεν μὴ πάλιν πάθῃ ἡ πόλις ἡμῶν. ἀλλὰ παρακλήθητι καὶ ποίησον σὺ αὐτὸς τέλεσμα, ἵνα μὴ πάθῃ ἔτι ταρασσομένη ἡ πόλις. ὁ δὲ

1. κρεμάμενον Ch., κρεμμαώμενον Ox. 3. κρεμάμενον Ch., κρεμμάμενον Ox. *ibid.* δεδεμένα Ch., δεδεμμένα Ox. 9. τὴν αὐτὴν Ἀντιόχειαν post περιέρχεσθαι ponenda sunt.

ut unusquisque civium plumbeam imagunculam solidam, Martis vultus referentem, calamo affixam gestaret; hinc vero scutum a calamo demissum, pelli russeae alligatum; illinc gladiolum, filo lineo similiter annexum haberet: ad hunc autem modum instructi omnes, inter equitandum inclamarent; *Vacet urbs Culicibus:* Peracta vero Celebritate, domi apud se imagunculam reponeret unusquisque. Hoc factum est; nec deinceps Antiochiae culex apparuit unquam.

Apollonius autem Tyanensis, dum primoribus comitatus, Antiochiam urbem perlustraret, ejus situm observaturus, in columnam incidit porphyreticam, urbis in medio positam; vidensque nihil ei impositum esse, sed et ipsam quoque columnam typhonicis ignibus tactam fuisse; Quid hoc sibi vellet, ab eis interrogavit. „Responderunt illi; Debborium quendam, Philosophum et telestam, post urbem Caii Caesaris sub imperio terrae motibus concussam, Columnam eam ibi statuisse, simulachro marmoreo ei superimposito; cujus pectori haec inscripsit; *Immota, Inconcussa.* Hoc autem fecit, urbis in tutelam; ne terraemotibus agitata corrueret. Caeterum Typhonicis deinde ignibus ex fulgure accidentibus, simulachrum columnae impositum, ignibus correptum, in terram corruit: nos vero de urbe nostra metuimus, ne eadem rursus passura sit. Te itaque exoratum habeamus, uti parato Telesmate, urbem in posterum inconcus-

Ἀπολλώνιος στενάξας ἀνεβάλετο τοῦ ποιῆσαι ἄλλο τέλεσμα περὶ σεισμῶν. καὶ ἑωρακότες αὐτὸν στενάξαντα, ἐπέμειναν παρακαλοῦντες αὐτόν· καὶ λαβὼν δίπτυχον ἔγραψε ταῦτα. Καὶ σὺ, τάλαινα Ἀντιόχεια, δὶς πάθοις· ἀλλὰ καὶ πάλιν ἐλεύσεται καιρός, ὅτε δὴ ἐπὶ πήμασι κεῖσε σεισμοῖς· δὶς δ' αὖθ' πυρὶ καύσαι ὡς
B παρ' αἰγιαλοῖς Ἀρέντησι· εἰ μὴ πάλιν πάθοις. καὶ ἐπιδέδωκε τὸ δίπτυχον τοῖς αὐτοῖς Ἀντιοχεῦσι κτήτορσι. καὶ ἐξορμήσας ἀπὸ τῆς τοῦ Ἀντιόχου πόλεως κατῆλθεν εἰς Σελεύκειαν τῆς Συρίας· καὶ ἀπέπλευσεν ἐπὶ τὴν Αἴγυπτον. ἔζησε δὲ ὁ αὐτὸς Ἀπολλώνιος ἔτη τριάκοντα καὶ τέσσαρα καὶ μῆνας ὀκτώ, καθὼς Δομνῖνος ὁ σοφώτατος χρονογράφος συνεγράψατο ταῦτα.

Ὁ δὲ αὐτὸς θειότατος Δομετιανὸς βασιλεὺς ἔκτισεν εἰς τὴν
O 346 Ἰσαυρίαν πόλιν, ἥντινα ἐκάλεσε Δομετιανούπολιν. ἐφόνευσε δὲ ἀγανακτήσας ὁ αὐτὸς Δομετιανὸς τὸν περιβόητον Ἀσκληπίονα, εἰπόντα αὐτῷ ὅτι Σφαζόμενος τελευτᾷς· καὶ μετ' ὀλίγον καιρὸν
C κατασκευασθεὶς ὑπὸ τῆς συγκλήτου ὁ αὐτὸς Δομετιανός, ἃς εἰσ-

8. Καὶ σὺ — πάλιν πάθοις] Οὐαί σοι, τάλαινα πόλις, ὅτι σεισμοῖς πολλοῖς καὶ πυρσοῖς κατενεχθήσῃ, κλαύσεται δέ σε καὶ ὁ παρ' αἰγιαλοῖς Ὀῤῥόντης Cedrenus p. 246. B. Unde qui apud Malalam reponat οὐαί σοι, idem facere debebit vol. II. p. 61. B. καὶ σύ, τάλαινα πόλις, Ἀντιόχου οὐ κληθήσῃ. Quae in Ἀρέντησι latet formam Ὀρέντης notavimus etiam supra p. 103. E, estque eadem in glossa antiquissimi codicis Parisini 1397. Strabonis l. VI. ed. Falcon. vol. I. p. 390. Διόδωρος ὁ ἱστορικὸς τετράπολίν φησι Συρακούσας ἐν οἷς ἀφομοιοῖ Ἀντιόχεια αὐτὴν (l. Ἀντιόχειαν τὴν) πρὸς τῷ Ὀρέντῃ ταῖς Συρακούσαις. Conf. Ducang. ad Chron. Pasch. p. 40. A, cuius verba apposuit Hodius ad Malalae p. 38. 3. ed. Bonn. 5. κεῖσε] κείσῃ Ch. 14. Ἀσκληπίονα] „Ita etiam Chr. Alex. Auctor, qui narratiunculam sequentem etiam, de Domitiani Imp. caede, ex nostro descripsit: nisi quod noster, Ἀσκληπίονα, ille Ἀσκλήπιον dicit; uterque vitiose. Reponendum Ἀσκληταρίωνα, ex Suetonio, in Domit. Tit. 15.“ Ch.

sam nobis praestare digneris.“ Apollonius autem ingemiscens, de Telesmate adversus terraemotus conficiendo responsum haesitabundus suspendit. Videntes autem eum suspiria trahentem, instabant etiam atque etiam rogantes. Is itaque, acceptis tabulis, ista inscripsit. *At Tu, misera Antiochia, bis infelix futura! iterumque veniet tempus, quo gravia a terrae tremoribus passura es. Bis etiam, si modo bis tantum, ad Orontis ripas conflagrabis.* Tabulas deinde hasce primoribus eisdem Antiochensibus tradidit. Antiochiâ vero discedens, Seleuciam profectus est: atque inde in Aegyptum navigavit. Vixit autem Apollonius annos xxxiv, mensesque viii, sicuti haec sapientissimus Chronographus Domninus literis tradidit.

Idem divinissimus Domitianus Imperator urbem in Isauria condidit, quam Domitianopolim nominavit. Idem etiam celeberrimum illum Asclepionem neci dedit, eo quod praedixerat, eum gladio esse periturum. Caeterum Domitianus, paulo post temporis Jovis templum, sacrificandi

ἦλθεν ἐν τῷ ἱερῷ τοῦ Διὸς θυσιάσαι, καὶ ἀφανὴς γενόμενος, τε-
λευτᾷ, ἐτῶν με΄, εἰπόντων πάντων ὅτι ἐπήρθη ἀπὸ τῆς γῆς εἰς τὸν
ἀέρα, ὡς φιλόσοφος. ἐφονεύθη δὲ σφαγεὶς ἐν τῷ αὐτῷ ἱερῷ τοῦ
Διὸς ὑπὸ τῆς συγκλήτου, ὡς ὑπερήφανος καὶ ἐνυβρίζων αὐτούς.
οἵτινες συγκλητικοὶ ἐποίησαν ἣν ἐφόρει χλαμύδα πορφυρᾶν κρε-
μασθῆναι εἰς μίαν ἅλυσιν τῶν ὄντων ἐν τῷ ἱερῷ κανδήλων· καὶ
πάντες οἱ εἰσιόντες εἰς τὸ ἱερὸν ἠπατοῦντο, νομίζοντες ὅτι ἐπήρ-
θη εἰς τὸν ἀέρα. ἐγνώσθη δὲ μετὰ ταῦτα ὅτι ἐσφάγη· καὶ ἐγέ- O 347
νετο ταραχὴ μεγάλη, διότι εἰς τὸ ἱερὸν ἐσφάγη.

Μετὰ δὲ τὴν βασιλείαν Δομετιανοῦ ἐβασίλευσε Νερβᾶς Αὔ- D
γουστος ἔτος α΄ καὶ μῆνα α΄. ἦν δὲ διμοιριαῖος, γέρων, εὐόφθαλ-
μος, μακρόρινος, εὔσωμος, μιξοπόλιος, μελάγχροος, οὖλος, δασυ-
πώγων, ἀγαθός. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔπαθεν ὑπὸ θεο-
μηνίας τὸ τρίτον αὐτῆς πάθος Διοκαισάρεια, πόλις τῆς Κιλικίας,
καὶ Νικούπολις καὶ ἡ χώρα αὐτῆς. καὶ εὐθέως ἔπεμψέ τινα ἐκεῖ
ὁ αὐτὸς βασιλεὺς συγκλητικὸν Ῥωμαῖον ὀνόματι Ζάρβον εἰς τὸ
κτίσαι αὐτήν, παρασχὼν αὐτῷ ὀκτὼ κεντηνάρια. καὶ καταλα-
βὼν τὴν Κιλικίαν ὁ αὐτὸς Ζάρβος ὁ συγκλητικός, καὶ ἑωρακὼς
τὰ πεπτωκότα, πολλὴν σπουδὴν θέμενος ἀνενέωσε τὴν πόλιν, O 348
βελτίω αὐτὴν ποιήσας. ὅθεν καὶ εἰς τὸ αὐτοῦ ὄνομα ἐκλήθη ἡ E
πόλις, τῶν πολιτῶν εὐχαριστούντων αὐτῷ. ὁ γὰρ συγκλητικὸς
εἰς ὄνομα τοῦ βασιλέως Νερβᾶ ἐκάλεσεν αὐτὴν πόλιν Νερβάν.

1. καὶ om. Chron. p. 250. D. 5. πορφύραν Ox. 12. οὐλός Ox.
15. Νικούπολις] Immo Νικόπολις, ut p. 127. C. 18. Σάρβος Ox.

causa, ingressus, insidiis in eum a senatu structis, e medio sublatus est, cum annum ageret XLV; rumore tamen in populum sparso, raptum eum in coelum fuisse, tanquam Philosophum. Verum ille in Jovis aede, a senatu occisus est; ut qui fastuosissimam in eos tyrannidem exercuisset. Jussit autem senatus Chlamydem quam gestabat purpuream in Templo suspendi, ab una catenarum, a quibus Candelae appendebantur. Quicunque itaque templum ingressi, decepti sunt, existimantes eum Coelos sublatum. Ubi vero innotuit tandem occisum fuisse, ingens in urbe erat tumultus; nempe quod in Templo interfectus esset.

Domitianum in imperio excepit Nerva Augustus, qui regnavit annum I et mensem I. Erat hic statura justam excedente, senex, oculis pulchris, nasutus, corpore bene composito, subcanus, cute nigra, crispus, barba hirsuta, moribus probis. Hujus sub imperio divinam iram passa est vice tertia Diocaesarea, Ciliciae urbs; Nicopolis etiam, regioque circumvicina. Itaque eo misit Imperator virum senatorium, nomine Zarbum; traditis ei, in urbis instaurationem, VIII centenariis. Zarbus itaque in Ciliciam veniens, ubi urbis ruinas inspexisset, summa qua potuit cura, eam instauravit et in melius refecit. Itaque etiam cives, gratias ei rependentes ab ejus nomine urbem appellari voluerunt. Senator enim eam antea ab Imperatoris nomine, Nervam denominaverat.

συνέβη δὲ τελευτῆσαι τὸν βασιλέα πρὸ τοῦ πληρωθῆναι αὐτήν· καὶ μετεκάλεσαν αὐτὴν Ἀνάζαρβον, ἐπιτρέψαντες τοῖς συμβολαιογράφοις οὕτως αὐτὴν χρηματίζειν. ἐλέγετο γὰρ ἐξ ἀρχῆς
V 114 ἡ αὐτὴ πόλις Κυῖνδα· καὶ ἔπαθε πρῶτον πάθος ἐπὶ τῶν ὑπάτων Ῥώμης, καὶ ἀνενεώθη καὶ μετεκλήθη Κίσκος πόλις. καὶ πάλιν ἔπαθεν ἐπὶ τοῦ Καίσαρος Ἰουλίου τὸ β' αὐτῆς πάθος· καὶ ἀνενεώθη καὶ μετεκλήθη Διοκαισάρεια· καὶ παθοῦσα ὡς προείρηται ἐπὶ Νερβᾶ βασιλέως μετωνομάσθη Ἀνάζαρβος. ποιήσας δὲ θυσίαν κόρην ὁ Ζάρβος ὀνόματι Κηπάραν χωρικήν, ἐποίησεν αὐτῇ στήλην χαλκῆν εἰς τύχην τῆς πόλεως. ἐμήνυσε δὲ τῷ αὐτῷ βασιλεῖ ὁ Ζάρβος περὶ τῶν πολιτῶν καὶ τοῖς σωθεῖσι πολίταις ἐχαρίσατο, ὡς φιλότιμος, πολλὰ ὁ αὐτὸς βασιλεύς. ὅστις Νερ-
O 349 βᾶς ἀνεκαλέσατο τὸν ἀπόστολον τὸν ἅγιον Ἰωάννην· καὶ ἦλθεν ἐν Ἐφέσῳ πάλιν ἀπὸ Πάτμων.

B Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἀνεφάνη Μάνης δογματίζων καὶ διδάσκων ὀχλαγωγῶν. ὡσαύτως δὲ ἐπὶ τῆς αὐτοῦ βασιλείας ἐκωλύθησαν οἱ μονομάχοι· καὶ αἱ θέαι αὐτῶν· καὶ ἐπενοήθη ἀντ' αὐτῶν τῶν κυνηγίων ἡ θέα.

Ὁ δὲ αὐτὸς βασιλεὺς νοσήσας καὶ φθαρεὶς τελευτᾷ, ὢν ἐνιαυτῶν οα'.

2. μετεκάλεσαν Ch., μετεκάλεσεν Ox. 4. Κυῖνδα] Σκῦντα Ox. Conf. Suidas v. Ἀνάζαρβος. 11. σωσθεῖσι] σωθεῖσι Ch. Sed ita Ox. 14. Πάτμων] Πάτμου Chron. Pasch. p. 251. B, ut ipse p. 111. D. 17. ἐπενοήθη] ὑπενοήθη Chron., ἐπενοήθησαν Ox.

Caeterum Imperatore e vivis excedente, priusquam absoluta esset urbs; mutato nomine, Anazarbum, vocarunt; Tabulariis etiam cura commissa, in Acta Publica eam sub eodem nomine referendi. Primitus enim urbs haec, Scynta, vocata est: de coelo autem tacta primum sub Consulibus Romanis, de integro instaurata est et Ciscus vocata. Rursus etiam Julio Caes. Imperante, terrae motibus eversa, nova iterum facta est et Diocaesarea nominata. Sub Nerva vero Imperatore denuo passa, uti dictum est, Anazarbus appellata est. Zarbus autem, parata in victimam virgine indigena, nomine Cepara, statuam ei aeneam erexit, urbis in Fortunam. Imperator autem, per Zarbi literas, de incolarum calamitatibus certior factus, plurima eis, qui a ruinis erant superstites, honorifice suppeditavit. Idem Nerva D. Joannem Apostolum ab exilio revocavit: qui ex Patmo Ephesum rediens, ibidem degebat.

Hujus sub Imperio Manes coepit dogmata sua spargere; populumque ad se allectare. Hoc etiam imperante, Ludi Gladiatorii populo interdicti sunt: in quorum locum substituta sunt spectacula Cynegetica.

Nerva vero Imperator in morbum incidens, naturae debitum exsolvit, annos natus LXXI.

ΛΟΓΟΣ ΙΑ' O 350

ΧΡΟΝΩΝ ΤΡΑΙΑΝΟΥ ΒΑΣΙΛΕΩΣ ΚΑΙ ΠΑΘΟΥΣ ΑΝΤΙΟΧΕΙΑΣ ΤΡΙΤΟΥ.

Μετὰ δὲ τὴν βασιλείαν Νερβᾶ ἐβασίλευσεν ὁ θειότατος Τραϊα- C
νὸς ἔτη ιθ' καὶ μῆνας ἕξ. ἦν δὲ μακρός, ξηρὸς τῷ σώματι,
μελάγχροος, λεπτοχαράκτηρος, κονδόθριξ, πολιός, βαθεῖς ἔχων
ὀφθαλμούς. ἕως δὲ τοῦ δευτέρου ἔτους τῆς βασιλείας αὐτοῦ ἦν
φαινόμενος καὶ διδάσκων ἐν Ἐφέσῳ, ἐπίσκοπος καὶ πατριάρχης
ὤν, ὁ ἅγιος Ἰωάννης ὁ ἀπόστολος καὶ θεολόγος· καὶ ἀφανῆ ἑαυ- O 351
τὸν ποιήσας οὐκέτι ὤφθη τινὶ καὶ οὐδεὶς ἔγνω τί ἐγένετο ἕως τῆς
νῦν, καθὼς Ἀφρικανὸς καὶ Εἰρηναῖος οἱ σοφώτατοι συνεγρά-
ψαντο.

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Τραϊανοῦ διωγμὸς μέγας
τῶν χριστιανῶν ἐγένετο καὶ πολλοὶ ἐτιμωρήθησαν. ἐν ᾧ χρόνῳ D

11. ἐτιμωρήθησαν Ch., ἐτιμορήθησαν Ox.

LIBER XI.

DE TEMPORIBUS TRAIANI IMPERATORIS ET ANTIOCHENSI PASSIONE TERTIA.

Nervae in Imperio successit divinissimus Trajanus: imperavit hic annos XIX et menses VI. Erat autem procerus, corpore tenui, colore nigro, facie parva, capillitio curto canoque, oculos habens subsidentes. Ad secundum vero usque Trajani Imperatoris annum, palam exhibebat se Ecclesiae Ephesinae doctorem, ubi Episcopus fuit et Patriarcha, D. Joannes, Apostolus et Theologus. Postea vero subtrahens sese, disparuit: neque adhuc constat, quid de eo factum est: sicuti scriptis tradiderunt Africanus et Irenaeus, sapientissimi Chronographi.

Eodem imperante Trajano, Christianorum gravis Persecutio facta est et plurimi supplicio affecti sunt. Circa idem tempus contra Romanos ar-

ἄρτων διαιωνιζόντων, καλέσας τοὺς αὐτοὺς ἄρτους πολιτικοὺς διὰ τὸ τῇ ἰδίᾳ αὐτοῦ πόλει τούτους χαρίσασθαι, ἀφορίσας ἐκ τῶν ἰδίων χωρίων πρόσοδον ἀναλογουμένην εἰς λόγον τῶν αὐτῶν ἄρ-

2. ἔμενε] ἔμεινε Ox. *ibid.* μόνου] Malim μόνον. 4. ὅτι] ὥστε? *ibid.* ὑπερεβ. Ch., ὑπερβ. Ox. 14. ἀλυτάρχης Ox., ad quod Ch. „Imo Συριάρχης. Ita enim supra libri hujus initio eum vocat: καὶ εὐθέως τότε ὠνομάσθη Συριάρχης πρῶτος Ἀρταβάνιος, πολιτευόμενος, etc. Alytarcha enim eodem tempore designatus est Aphronius, uti ex loco citato videre est. Artabani vero hujus nominis scriptione magnam varietatem observare licet: Nostro enim Ἀρταβάνιος et Ἀρταβάνης, Chr. Alex. Auctori Ἀρτάβανος etiam dictus est.“ 16. καλαμίων] καλάμια Chron. Pasch. p. 263. A. Conf. vol. II. p. 5. E. 19. ἀνηλογουμένην] „Lego, ἀναλογουμένην. Chr. Alex. legit, ἀναλογοῦσαν.“ Ch.

dum ipse viveret. Si quibus etiam Opificum sodalitiis praefuit Agonista, ab omni servitio immunia, durante ejus vita et ipsa erant futura. Athletarum vero frequentia, tanta quanta fuerit, impedimento non erat, quo minus illis omnibus utriusque sexus, qui ex pacto eo convenerant, daretur certandi locus. Et erat quidem, cum plures venerunt; erat etiam, ubi pauciores; pro tempestate nimirum, et ventorum ad navigationem accommodatorum opportunitate.

Ejusdem Commodi sub imperio, divinam iram tertium passa est Nicomedia, Bithyniae Metropolis; grassante etiam ulterius terrae motu, Mydopolim usque et Sangarim fluvium, locaque vicina, Maii III, sub ortum solis. Multa autem Imperator, in urbis instaurationem largitus est.

Eodem Imperante Commodo, Artabanes quidam ex Civibus et Magistratibus Antiochiae magnae, Syriarcha, post Coronationem Olympicam in Daphne finitam, magnificentiam suam populo praestiturus, sparsit in eum, ad sacram Daphnem, tesseras quamplurimas Panis Perpetui; destinatis etiam ex praediis suis, ad Congiarii hujus sumptus faciendos, reditibus annuis proportionalibus. Panes vero istos, *Civicos*, vocavit, quod Civita-

των. καὶ ἀνήγειραν αὐτῷ οἱ Ἀντιοχεῖς στήλην ἐν Δάφνῃ μαρμαρίνην, ἐπιγράψαντες, Ἀρταβάνης αἰωνία μνήμη.

Ὁ δὲ αὐτὸς Κόμμοδος βασιλεὺς ἀπελθὼν εἰς τὸν οἶκον Φαυστίνου, συγγενοῦς αὐτοῦ, ἀπὸ αἱματικοῦ χυμοῦ ἀθρόως ἐτελεύτησε.

O 382 Μετὰ δὲ τὴν βασιλείαν Κομμόδου ἐβασίλευσε Περτίναξ ὁ
B καὶ Λούκιος Αὔγουστος μῆνας β' καὶ ἡμέρας ιη'. ἦν δὲ μακρός, εὐθώραξ, ἐπίρινος, ἁπλόθριξ, μεγαλόφθαλμος, γέρων, ὁλοπόλιος. τελευτᾷ δὲ σφαγεὶς ὑπὸ τῶν στρατιωτῶν, ὡς ἐξήρχετο ἐκ τοῦ παλατίου εἰς τὸν Μάρτιον, ὢν ἐτῶν ο'.

Μετὰ δὲ τὴν βασιλείαν Περτίνακος ἐβασίλευσε Δίδιος Ἰουλιανὸς ὁ καὶ Σίλβιος μῆνας ζ'. ἦν δὲ μακρός, μιξοπόλιος, οὐλόθριξ, σύνοφρυς, ὑπόστραβος, λεπτοχαράκτηρος, μελίχρους.

Ἔκτισε δὲ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τὸ λεγόμενον Πλεθρίν, ἐπειδὴ εἰς τὸ θέατρον ἐπετέλουν τὰς πάλας ἐν τοῖς Ὀλυμπίοις. καὶ διὰ μηνύσεως τῶν τῆς πόλεως Ἀντιοχείας κτητόρων δεηθέντων παρέσχεν αὐτοῖς χρήματα εἰς τὸ κτίσαι τὸ αὐτὸ Πλεθρίν·
C
O 383 καὶ ἔκτισαν αὐτὸ πλησίον τοῦ Καισαρίου, ἀγοράσαντες τὴν οἰκίαν Ἀσαβίνου πολιτευομένου, Ἰουδαίου τὴν θρησκείαν, πλησίον τοῦ Ξυστοῦ καὶ τοῦ Κομμοδίου δημοσίου. ἐσφάγη δὲ ὁ αὐτὸς Ἰουλιανὸς Δίδιος ὑπὸ κουβικουλαρίου εἰς τὴν πηγὴν τοῦ παλατίου

2. Ἀρταβάνης αἰωνία μνήμη] „Forte legendum, Ἀρταβάνους. Chr. Alex. habet: Ἀρταβάνει ἡ μνήμη αἰωνία.“ Ch. Fort. Ἀρταβάνῃ. Vid. ad p. 115. E. 16. δεηθέντων Ch., θεηθέντων Ox.

tem suam eis donasset. Huic itaque Antiochenses statuam Marmoream ad Daphnem posuerunt cum hac Inscriptione: *Artabanis memoria sempiterna.*

Commodus autem Imperator, dum apud Faustinum, consanguineum suum, commorabatur, sanguinis fluxu subito correptus, interiit.

Defuncto Commodo, imperium obtinuit Lucius Pertinax Augustus, menses II et dies XVIII. Erat autem procerus, pectore firmo, naso adunco, capillitio plano, oculis grandibus, senex, totusque canus. A militibus autem occisus est, dum ex palatio in Campum Martium procedit, aetatis suae anno LXX.

Post hunc, imperavit Didius Julianus, qui et Silvius, menses VII. Erat autem procerus, subcanus, capillitio crispo, junctis superciliis, substrabus, facie tenui, colore flavo.

Extruxit hic Antiochiae Magnae *Plethrum* quod vocant. Cum enim antea, quae in Ludis Olympicis fieri solebant, Palaestrae in Theatro agitatae fuissent; Didius, rogatu civium urbis Antiochiae, pecunias populo largitus est, ad *Plethrum* conficiendum. Quod et factum est, non procul a Caesario; Pretio comparatis in id aedibus Asabini, Judaei professione, qui etiam ex urbis Magistratibus fuit, prope Xystum et Balneum Commodianum sitis. Didius autem Julianus, dum ad fontem intra

Ῥώμης ἔσω, ὡς προσέχει τοῖς ἰχθύσι, κατὰ συσκευὴν τοῦ μετ' αὐτόν. ἦν δὲ ἐνιαυτῶν ξ'.

Μετὰ δὲ τὴν βασιλείαν Διδίου Ἰουλιανοῦ ἐβασίλευσεν ὁ θειότατος Σέβηρος ὁ καὶ Σεπτίμιος, ὑπὸ τῆς συγκλήτου Ῥώμης ψηφισθείς, ἐπὶ τῆς ὑπατείας Φλάκωνος καὶ Κλάρου. ἐβασίλευσε δὲ ἔτη ιζ' καὶ μῆνας θ'. ἦν δὲ διμοιριαῖος τῇ ἡλικίᾳ, λεπτός, εὔστηθος, μακρόρινος, εὐόφθαλμος, μελάγχροος, οὐλόθριξ, ὁλο- D πόλιος, μεγαλοπώγων, τοὺς πόδας στυφόμενος, μεγαλόψυχος, ὀργίλος.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐτυράννησεν Ἀλβῖνος ὁ συγκλη- O 384 τικός· ὅντινα ὁ στρατός, ὡς πολεμεῖ τοῖς Γήπεσι πεμφθεὶς παρὰ τοῦ πρὸ αὐτοῦ βασιλέως Διδίου, ἀνηγόρευσε βασιλέα αὐθεντήσας τὴν σύγκλητον. καὶ κατεδίωξεν αὐτὸν ὁ Σέβηρος ἐν τῇ Θράκῃ, καὶ παραλαβὼν αὐτὸν ἐφόνευσεν.

Ἐλθὼν δὲ ὁ Σέβηρος ἐπὶ τὸ Βυζάντιον, καὶ ἑωρακὼς τὴν τοποθεσίαν τῆς πόλεως καλήν, ἀνήγειρε τὴν Βυζούπολιν, καὶ ἔκτισε δημόσιον λουτρὸν τὸ λεγόμενον Ζεύξιππον διότι ἐκεῖ ἵστατο ἐν μέσῳ τοῦ τετραστῴου στήλη χαλκῆ τοῦ Ἡλίου, καὶ ὑποκάτω αὐτῆς ἔγραψε τὸ μυστικὸν ὄνομα τοῦ ἡλίου, Ζευξίππῳ θεῷ· οἱ E O 385 γὰρ Θρᾷκες οὕτως ἔλεγον τὸν ἥλιον. οἱ δὲ τῆς πόλεως Βύζης οὕτως ὠνόμαζον τὸ αὐτὸ δημόσιον Ζεύξιππον κατὰ τὸ ὄνομα ὅπερ

5. Φλάκωνος καὶ Κλάρου] „Chr. Alex. legit, Φλάκκου καὶ Κλάρου. Eusebius ad an. Severi I. Coss. ponit Falconem et Clarum: uti et Fasti Capitolini, pro Φλάκωνος. Itaque apud nostrum, legendum Φάλκωνος, facili literarum transpositione." Ch. 11. Γήπεσι Ch., Γίπεσι Ox. Conf. vol. II. p. 22. C, 64. C.

palatium piscibus intendit, a cubiculario suo, a successore ad id subornato, occisus est, annum agens LX.

Didium Julianum excepit divinissimus Severus, qui et Septimius, a Senatu Romano Imperator salutatus, Flaccone et Claro Coss.: et regnavit annos XVII et menses novem. Erat vero statura mediocrem superante, gracilis, pectore firmo, nasutus, oculis venustis, niger, crispus, canus, barbatus, aeger pedibus, magnanimus et ad iram pronus.

Hujus sub imperio novis rebus studebat Albinus, Senator; quem cum Gepidibus (in quos a Didio missus fuerat) bella gerentem, exercitus, spreta Senatus autoritate, Imperatorem salutaverat. Hunc autem insecutus Severus, in Thracia comprehensum, neci dedit.

Severus autem Byzantium veniens, cum situm ejus amoenum observasset, urbem instauravit; Balneo etiam Publico ibidem extructo, cui *Zeuxippus* nomen; ex eo, quod ibi olim steterat, in Tetrastoi meditullio, aerea Solis statua; cujus ad Basim Solis nomen Mysticum inscribebatur, his verbis: *Deo Zeuxippo.* vocabulo enim hoc Thraces Solem indigetant. Balneum itaque hoc Byzantini, non ut Imperator id vocari voluit, *Severianum*, sed a loci nomine antiquo *Zeuxippum* vocitabant. Im-

εἶχε τὸ πρότερον ὁ τόπος, καὶ οὐκέτι, ὡς εἶπεν ὁ βασιλεύς, εἰς τὸ ἴδιον αὐτοῦ ὄνομα ἐκάλουν αὐτὸ Σεβήριον. ὁ δὲ βασιλεὺς Σέβηρος τὸ Τετράστῳον, οὗπερ ἐν μέσῳ ἵστατο ἡ στήλη τοῦ ἡλίου, προσέθηκε τὸ δημόσιον ὃ ἔκτισεν αὐτός, ἀντ' αὐτοῦ κτίσας ἐν τῇ V 125 *ἀκροπόλει τῆς αὐτῆς Βυζοϋπόλεως ναόν, ἤτοι ἱερόν, τῷ Ἡλίῳ, πλησίον τῶν ὄντων ἐκεῖ ἄλλων δύο ἱερῶν τῶν κτισθέντων πρῴην ὑπὸ μὲν Βύζου τῇ Ἀρτέμιδι σὺν τῇ ἐλάφῳ, ὑπὸ δὲ Φιδαλίας Ἀφροδίτῃ· καὶ ἀναγαγὼν ἐκ τοῦ Τετραστῴου ὁ Σέβηρος τὸ ἄγαλμα τοῦ Ἡλίου ἔστησεν ἄνωθεν τοῦ ἱεροῦ, καὶ κτίσας ὁ αὐτὸς βασιλεὺς καὶ κατέναντι τοῦ ἱεροῦ τῆς Ἀρτέμιδος κυνήγιον μέγα πάνυ, καὶ κατέναντι τοῦ ἱεροῦ τῆς Ἀφροδίτης θέατρον. τὸ δὲ* O 386 *Ἱππικὸν ἔστησεν εἰς τὸ αὐτὸ Βυζάντιον ὁ αὐτὸς θειότατος Σέβηρος ἀγοράσας οἰκήματα, καὶ τὸν κῆπον τὸν ὄντα ἐκδενδρώσας ἐποίησε τὸ Ἱππικὸν τοῖς Βυζαντίοις· ὅπερ οὐκ ἔφθασε πληρῶσαι. καὶ τὸ δὲ λεγόμενον Στρατήγιον ἀνενέωσεν ὁ αὐτὸς Σέβηρος·* B *πρῴην γὰρ ἦν κτισθὲν ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅτε κατὰ Δαρείου ἐπεστράτευσεν, ὃς καὶ ἐκάλεσε τὸν τόπον Στρατήγιον· ἐκεῖ γὰρ στρατηγήσας τὰ τοῦ πολέμου ὥρμησεν εἰς τὸ πέραν κατὰ Περσῶν.*

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Σεβήρου ἐτυράννησε καὶ ἄλλος συγκλητικὸς Νίγερ τις ὀνόματι, κατελθὼν κατὰ Περσῶν· καὶ μετὰ τὸ ποιῆσαι πάκτα εἰρήνης πρὸς Πέρσας ἀκούσας ὁ στρατὸς

3. *οὗπερ* Ch., *ὅπερ* Ox., *ὅπου* Chron. Pasch. p. 265. C. Conferendus cum his et sequentibus Suidas v. *Σεβῆρος*. 5. *ἀκροπόλει* Chron., *ἀκροπόλεως* Ox. 7. *Φιδαλίας*] Scribendum *Φιδαλείας*. Conf. epigramma apud Hesychium Illustrem p. 70. Or. *Φειδαλείας* scriptum apud Cedrenum p. 323. C.

perator autem Severus Tetrastoum hoc, cujus in medio sita fuerat Solis statua, Balneo publico a se extructo adjecit: cujus in locum, in ipsa urbis summitate, templum quoque Soli erexit, (cujus in summo Solis statuam, ex Tetrastoo detractam collocavit:) in propinquo duobus illis, quae olim ibi erecta fuerant, hoc quidem a Byzo, *Dianae Cervinae* sacrum, illud a Phidalia, Veneris in honorem. E regione autem Dianae templi, Cynegium plane magnum, Veneris autem fani ex opposito Theatrum condidit. Idem divinissimus Severus, aedibus coemptis, hortoque adjacente arboribus denudato, Hippodromum ibi Byzantinis extruxit: quem tamen ad exitum non perduxit. Strategium quoque Severus instauravit, ab Alexandro Macedone olim, cum adversus Darium arma movit, extructum: hoc nomine eidem indito, eo quod exhinc, ubi in bellum Persicum sese pararet, trajecit exercitum.

Ejusdem Severi temporibus, imperium sibi arripuit Senator alius, nomine Niger, in Persas exercitum ducens: quibuscum pacis conditionibus initis, exercitus, audito cum a quibusdam ex Senatu Romano Imperato-

ὅτι τινὲς τῆς συγκλήτου Ῥώμης αὐτὸν ὠνόμασαν βασιλέα, ἀνηγόρευσαν τὸν αὐτὸν Νίγερτα βασιλέα. καὶ παρέλαβε πᾶσαν τὴν ἀνατολὴν ἕως τῆς Αἰγύπτου· ὅντινα οὐκ ἐδέξαντο οἱ Λαοδικεῖς Σύροι, ἀλλ' ἀντέστησαν αὐτῷ. καὶ φοσατεύσας παρέλαβε Λαοδίκειαν, καὶ ἔστρεψεν αὐτὴν καὶ κατέσφαξε πάντας. C

Καὶ ἐπεστράτευσε κατ' αὐτοῦ ὁ αὐτὸς Σέβηρος, καὶ καταδιώξας ἔφθασεν αὐτὸν ἐν Θηβαΐδι τῆς Αἰγύπτου· ὅντινα πολέμῳ O 387 συλλαμβανόμενος ἐφόνευσεν. καὶ ὑποστρέψας ἀπὸ τῆς Θηβαΐδος μετὰ τὴν νίκην ἠγανάκτει κατὰ τῶν Ἀλεξανδρέων, διότι ἐδέξαντο τὸν Νίγερτον τύραννον καὶ ἐπέγραψαν εἰς τὰς πόρτας αὐτῶν, Τοῦ κυροῦ Νίγερος ἡ πόλις. καὶ ἀπαντήσαντες τῷ αὐτῷ βασιλεῖ Σεβήρῳ οἱ δῆμοι τῆς αὐτῆς Ἀλεξανδρέων μεγάλης πόλεως ἔκραζον ταῦτα, Οἴδαμεν, εἰρήκαμεν, Τοῦ κυροῦ Νίγερος ἡ πόλις· σὺ ἦσθα ὁ κῦρις αὐτοῦ. καὶ δεξάμενος τὸ ἕτοιμον τῆς ἀπολογίας συνεχώρησεν αὐτοῖς τὸ πταῖσμα καὶ ἐνδουλγεντίας αὐτοῖς παρασχὼν ἐδέξατο αὐτούς. καὶ ἔκτισεν αὐτοῖς δημόσιον λουτρόν, D ὃ ἐπεκάλεσε Σεβήριον· ἔκτισε δὲ καὶ ἱερὸν τῆς Ῥέας. ἐν τῷ δὲ μέλλειν αὐτὸν ἐξιέναι συνέσχε Θερμόν τινα ὀνόματι, ὅστις ὑπῆρχε τῶν πρώτων ἀξιωματικῶν Ἀλεξανδρείας τῆς μεγάλης καὶ ἀγαπώμενος ἀπὸ τῶν πολιτῶν· ὅστις Θερμὸς ἦν κτίσας ἐν τῇ πόλει ἐκ τῶν ἰδίων δημόσιον λουτρόν, ὃ ἐπεκάλεσε Θέρμα εἰς ὄνομα ἑαυτοῦ. ὅντινα Θερμὸν ἐδήμευσεν Σέβηρος, ὡς φίλον τοῦ Νίγερος. ἀπὸ δὲ Ἀλεξανδρείας ἐξελθὼν ἦλθεν ἐν Λαοδικείᾳ τῆς Συρίας, καὶ

rem nominatum fuisse, Nigrum Imperatorem dicebat. Hic itaque Orientem omnem ad Aegyptum usque occupavit: quem tamen Laodicenses Syri nequaquam recipiebant, sed ei etiam resistebant. Laodiceam itaque obsidione cinxit; captamque funditus evertit, incolis etiam internecioni datis.

Hunc itaque bello petens Severus, in Thebaide Aegypti adoritur: tandemque bello captum interfecit. Victoria autem potitus Imperator, a Thebaide Alexandriam contendit. Alexandrinis autem infensus erat, quod Nigrum rebellantem admittentes, portis etiam suis inscripserant: *Domini Nigri est haec urbs.* Populus itaque Alexandrinus Severo Imperatori procedens obviam, alta voce exclamavit. *Fatemur dixisse nos urbis hujus Dominus Niger est: Tu autem Nigri dominus eras.* Imperator autem, subita hac Alexandrinorum apologia captus, condonavit hoc eis; datisque indulgentiis, in gratiam cum illis rediit. Extruxit etiam ibi Balneum publicum, cui nomen dedit Severianum. Magnae matri etiam aedem sacravit. Inde vero discessurus, Thermum quendam, quod Nigri studiosus fuerat, comprehendi jussit, bonaque ejus publicari. Erat hic Thermus ex primariis Alexandriae Optimatibus, et civibus suis summe charus; ut qui propriis sumptibus Balneum Publicum extruxerat, quod a nomine suo, *Therma*, vocavit. Inde autem discedens Imperator, Laodiceam Syriae

ἐπῄνησε τοὺς ὑπολειφθέντας Λαοδικεῖς, καὶ πολλὰ αὐτοῖς ἐχα-
ρίσατο καὶ δίκαιον μητροπόλεως παρέσχε τῇ αὐτῇ πόλει τὸν χρό-
O 388 E νον τῆς βασιλείας αὐτοῦ καὶ μόνον, καὶ Σεπτιμίους ἐκέλευσεν αὐ-
τοὺς χρηματίζειν εἰς τὸ ἴδιον αὐτοῦ ἐπώνυμον, καὶ ἀξίας συγκλη-
τικῶν παρέσχε τοῖς περισωθεῖσιν ἀξιωματικοῖς τῆς αὐτῶν Λαοδι-
κέων πόλεως, διότι οὐκ ἐδέξαντο τὸν τύραννον Νίγερα, ἀλλ' ἐπολέ-
μησαν αὐτῷ. καὶ παρέσχεν αὐτοῖς καὶ σιτωνικὰ χρήματα πολλὰ
καὶ πολιτικὰ χρήματα πολλά, ἐτήσια θεσπίσας ἔχειν αὐτοὺς εἰς
ἐπανόρθωσιν τῆς πόλεως αὐτῶν, ὅτι ὅτε ἦν παραλαβὼν αὐτὴν ὁ
V 126 Νίγερ, ἔκαυσε καὶ ἔστρεψε καὶ πάντας κατέσφαξε τοὺς ἀντιστα-
θέντας καὶ πολεμήσαντας αὐτῷ. ἔκτισε δὲ τοῖς αὐτοῖς Λαοδι-
κεῦσιν ὁ Σέβηρος καὶ Ἱππικὸν καὶ Κυνήγιον καὶ δημόσιον λουτρὸν
πλησίον κάτω τοῦ λιμένος, εὑρηκὼς ἐκεῖ πηγήν. ἔκτισε δὲ ἐκεῖ καὶ
τὸ λεγόμενον Ἑξάστῳον.

Ἐλθὼν δὲ καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ πολλὰ καὶ αὐτοῖς ἐχα-
ρίσατο· κληδόνα γὰρ νίκης ἔδωκαν αὐτῷ κράζοντες, ἐξιόντι εἰς
Αἴγυπτον κατὰ Νίγερος. ἔκτισε δὲ τοῖς αὐτοῖς Ἀντιοχεῦσι δη-
μόσιον λουτρὸν μέγα παρὰ τὸ ὄρος, ὃ ἐπεκάλεσεν εἰς ὄνομα αὐτοῦ
Σεβηριανόν. ἐκέλευσε δὲ τοῖς αὐτόθι πολιτευομένοις ἐκ τῆς πε-
O 389 B ρισσείας τῶν ἀπομεινάντων ἐγκαυστικῶν χρημάτων ἐκ τῶν δημο-
σίων τῶν πεσόντων κτίσαι τῇ πόλει δημόσιον λουτρὸν ἄλλο· οἵ-
τινες πολιτευόμενοι ἀγοράσαντες τὴν οἰκίαν πᾶσαν τῆς Λιβίας
τῆς πολιτίσσης καὶ τὸ λουτρὸν αὐτῆς καὶ τὸν κῆπον ἔκτισαν ἐκεῖ

11. Λαοδικεῦσιν Ch., Λαοδικεῖς Ox. 19. περισσείας Ch., περισείας Ox.

venit; ubi laudatis qui supererant Laodicensibus, plurima eis largitus est; jure etiam Metropolitico urbi, dum Imperator ipse viveret, concesso. Sed et a nomine etiam suo Laodicenses *Septimios* appellari voluit; urbisque Laodicenae cives superstites Senatoria dignitate cohonestavit: nempe quod Nigrum rebellem rejicientes, etiam armis impetiverant. Pecunias etiam illis Frumentarias plena manu dedit; Civicas quoque, quas in urbis instaurationem annuatim solvendas Edicto decrevit. Niger enim urbem captam funditus evertit, incendioque vastavit; civibus etiam omnibus, se ei opponentibus, internecioni datis. Severus autem Hippodromum et Cynegium Laodicensibus condidit; fonteque inferius, prope urbis portam reperto, Balneum quoque Publicum extruxit. Hexastoon etiam, quod vocant, ibidem excitavit.

Antiochiam magnam deinde veniens, plurima etiam civibus dedit; ut qui exeunti ei adversus Nigrum in Aegyptum, elatis vocibus, victoriam ominati fuerant. Extruxit autem ibi ad montem Balneum Publicum, quod a nomine suo Severianum vocavit: Mandato etiam Magistratibus Antiochenis dato, uti ex materie Encaustica, ex Balneorum collapsorum ruinis residua, Balneum aliud Publicum extruerent. Domo itaque Liviae cujusdam, civis Antiochenae, Balneo item hortoque ejus, pretio coemptis,

δημόσιον λουτρὸν εἰς τὴν πεδιάδα τῆς πόλεως. ὅπερ δημόσιον πληρώσαντες ἐπωνόμασαν διαφθονούμενοι ἀλλήλοις Λιβιανὸν εἰς ὄνομα τῆς πωλησάσης τὸν τόπον. ὁ δὲ αὐτὸς Σέβηρος ἐξελθὼν εἰς ἄλλον πόλεμον ἐτελεύτησεν εἰς τὸ βαρβαρικὸν ἐπὶ τὴν δύσιν, ὢν ἐνιαυτῶν ξε'.

Μετὰ δὲ τὴν βασιλείαν Σεβήρου ἐβασίλευσεν Ἀντωνῖνος Γέτας ἔτος α'. ἦν δὲ κονδοειδής, πλάτοψις, σιμός, ὑποφάλακρος, μιξοπόλιος, προγάστωρ, μεγαλόστομος, λευκόχρους, μι- C κρόφθαλμος. ἀνεῖλεν δὲ αὐτὸν ὁ στρατός, καὶ τελευτᾷ ὢν ἐνιαυτῶν να'.

Μετὰ δὲ τὴν βασιλείαν Ἀντωνίνου Γέτα ἐβασίλευσεν Ἀντωνῖνος ὁ Καράκαλλος, υἱὸς Σεβήρου ἔτη ϛ' καὶ ἡμέρας κβ'. ἦν δὲ εὐμήκης καὶ εὐσθενής, εὔχροος, στρεβλόρινος, δασυπώγων, μιξοπόλιος, οὐλόθριξ. ἐφιλεῖτο δὲ ὑπὸ τοῦ δήμου Ῥώμης παν- O 390 τός· ἔχαιρε δὲ εἰς τὸ Πράσινον μέρος. ἐσφάγη δὲ ἐν τῷ παλατίῳ, ὡς ἐξήρχετο εἰς τὸ ἱερόν, ὢν ἐνιαυτῶν μζ'.

Μετὰ δὲ τὴν βασιλείαν Ἀντωνίνου Καρακάλλου, ἐβασίλευσε Βαλεριανὸς ἔτη ϛ'. ἦν δὲ κονδοειδής, λεπτός, ἁπλόθριξ, πολιός, D ὑπόσιμος, δασυπώγων, μελάγκορος, μεγαλόφθαλμος, δειλός, σκνιφός. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας εἷς τῶν πολιτευομένων Ἀντιοχείας τῆς μεγάλης ὀνόματι Μαριάδης, ἐκβληθεὶς ἐκ τῆς βουλῆς κατὰ συσκευὴν τοῦ παντὸς βουλευτηρίου καὶ τοῦ δήμου, ἐλείπετο γὰρ εἰς τὰ ἱππικά, εἰς οἷον δήποτε μέρος ἐστρατήγησε,

urbis in planitie Balneum aliud Publicum erexerunt iidem Magistratus. Quod ubi ad exitum peruuxissent, nominis imponendi honorem sibi mutuo invidentibus, *Livianum*, a dominae prioris nomine, appellatum est. Severus autem, in gentes Barbaras Occidentales bello alio suscepto, ibidem mortuus est, annum agens LXV.

Post Severum imperavit Antoninus Geta annum unicum. Erat hic statura curta, vultu lato, simus, subcalvus, capillitio canescente, ventriosus, ore patulo, cute alba, oculis parvis. Ab exercitu autem sublatus periit, annos natus LI.

Hunc excepit Antoninus Caracalla, Severi filius; qui regnavit annos sex et dies XXII. Erat hic procerus, robustus, colore florido, naso obtorto, barba hirsuta, crine canescente crispoque. Populo hic Romano universo charus erat; Factioni autem Prasinae studebat. A Palatio autem ad Templum procedens, occisus est anno aetatis XLVII.

Post Antoninum Caracallam imperavit Valerianus annos VI. Statura erat curta, gracilis, crine lento, canus, subsimus, barba spissa, pupillis nigris, oculis magnis, timidus, parcus. Hujus sub Imperio Mariades quidam ex Magistratibus Antiochenis, communi Senatus populique suffragio, ex Concilio ejectus est. Cuicunque enim Factioni praefectus fuerat, is nun-

μὴ ἀγοράζων ἵππους, ἀλλὰ τὰ τοῦ ἱππικοῦ δημόσια ἀποκερδαί-
νων, ἀπῆλθεν εἰς τὴν Περσίδα καὶ ἐπηγγείλατο τῷ βασιλεῖ Περ-
σῶν Σάπωρι προδίδειν αὐτῷ Ἀντιόχειαν τὴν μεγάλην, τὴν ἰδίαν
αὐτοῦ πόλιν. καὶ ἦλθεν ὁ αὐτὸς Σαπώρης, βασιλεὺς Περσῶν,
μετὰ δυνάμεως στρατοῦ πολλοῦ διὰ τοῦ λιμίτου Χαλκίδος, καὶ
O 391 παραλαμβάνει τὴν Συρίαν πᾶσαν καὶ πραιδεύει αὐτήν. καὶ πα-
E ραλαμβάνει Ἀντιόχειαν τὴν μεγάλην πόλιν ἐν ἑσπέρᾳ καὶ πραι-
δεύει αὐτήν, καὶ στρέφει καὶ καίει αὐτήν, χρηματιζούσης τότε
τῆς μεγάλης Ἀντιοχείας τιδʹ. ἀπεκεφάλισε δὲ καὶ τὸν πολιτευό-
μενον, ὡς προδότην ὄντα πατρίδος ἰδίας. παρέλαβε δὲ καὶ πάν-
τα τὰ ἀνατολικὰ μέρη, καὶ στρέφει καὶ καίει καὶ πραιδεύει αὐ-
τὰ καὶ ἐφόνευσε πάντας, ἕως πόλεως Ἐμίσης τῆς τοῦ Λιβάνου
V 127 Φοινίκης. καὶ ἐξελθὼν ὁ ἱερεὺς τῆς Ἀφροδίτης ὀνόματι Σαμ-
ψιγέραμος μετὰ βοηθείας ἀγροικικῆς καὶ σφενδοβόλων ὑπήντη-
σεν αὐτῷ. καὶ προσεσχηκὼς ὁ Σαπώρης, βασιλεὺς Περσῶν, ἱε-
ρατικὸν σχῆμα, παρήγγειλε τῷ στρατῷ τῷ ἰδίῳ μὴ τοξεῦσαι
κατ' αὐτῶν μήτε ἐπελθεῖν αὐτοῖς μήτε πολεμῆσαι αὐτοῖς, εἰς
πρεσβείαν δεχόμενος τὸν ἱερέα· προεδήλωσε γὰρ αὐτῷ ὁ ἱερεὺς
O 392 δέξασθαι αὐτὸν πρεσβεύοντα ὑπὲρ τῆς ἰδίας χώρας. ἐν τῷ δὲ
διαλέγεσθαι αὐτὸν τῷ ἱερεῖ, ἐν ὑψηλῷ βωμῷ καθημένου τοῦ αὐ-
τοῦ βασιλέως Σαπώρη, ἔρριψεν εἷς τῶν ἀγροίκων σφενδοβόλῳ λί-
θον, καὶ ἔδωκε τῷ αὐτῷ Σαπώρῃ βασιλεῖ κατὰ τοῦ μετώπου,
καὶ εὐθέως ἀπέθανεν ἐπὶ τὸν τόπον. καὶ ταραχῆς γενομένης,

5. λιμιτοῦ Ox. 9. τιδʹ Ch., δτεʹ Ox. Poterat etiam διτʹ. 17. ἐπελθεῖν Ch., ἀπελθεῖν Ox.

quam equos coemit; nummo Publico, ad Circensia destinato, in loculos suos collecto. Hic itaque Persidem abiit; ubi Sapori, Persarum regi, ultro se obtulit urbis suae Antiochiae magnae proditorem. Sapores itaque Persarum rex, copiis ingentibus instructus, per Chalcidis limites decit iter; totamque Syriam occupatam vastavit. Magnam quoque Antiochiam, vespere captam, diripuit; eversa etiam urbe et flammis absumpta. Annus tunc erat Aerae Antiochenae cccxiv. Mariadem vero Magistratum Antiochenum, tanquam patriae suae proditorem, capite multavit. Per omnem quoque Orientem grassatus, adusque Emisam, quae Phoeniciae Libanisiae urbs est, occisis ubique incolis, omnia cepit, vastavit, combussit. Egressus autem Sampsigeramus quidam, Veneris sacerdos, rustica fundatorum manu stipatus, Sapori procedebat obviam. Rex autem Sapores, observato habitu sacerdotali, imperavit suis, nequis sagittam emitteret, aut in turbam illam arma sua moveret: Sacerdotem etiam, pro patria sua se legatum advenire dicentem, accepit. Interim vero dum Sapores rex, altari excelso insidens, cum sacerdote sermones haberet, ex rusticis quidam, vibrato in regem lapide, fronte eum percussit; qui statim mortuus cecidit. Tumultu inde exorto, exercitus Regis ob mortem fa-

ἤκουσεν ὁ στρατὸς αὐτοῦ ὅτι ἀπέθανε· καὶ ὑπολαβόντες Ῥω- B
μαίους καταφθάσαι, ἔφυγον ἐπὶ τὸ λίμιτον πάντες, διωκόμενοι
ὑπὸ τῶν ἀγροίκων καὶ τοῦ ἱερέως Σαμψιγεράμου, ἐάσαντες τὰ
τῆς πραίδας πάντα, ἀφανεῖς ἐγένοντο. ὑπήντησε δὲ αὐτοῖς διὰ
τοῦ λιμίτου, ἀντιποιούμενος Ῥωμαίων, Ἔναθος, βασιλεὺς Σα-
ρακηνῶν βαρβάρων, ὁ κρατῶν τὴν Ἀραβίαν χώραν· ὅστις εἶχε
γυναῖκα Ζηνοβίαν ὀνόματι, Σαρακηνὴν βασίλισσαν. καὶ πάν-
τας τοὺς Πέρσας τοὺς τῆς βοηθείας Σαπώρη ἀνήλωσεν Ἔνα-
θος, βασιλεὺς Σαρακηνῶν, καθὼς Δομνῖνος ὁ σοφὸς χρονο- O 393
γράφος ἐξέθετο· ὁ δὲ σοφώτατος Φιλόστρατος ἄλλως συνεγρά-
ψατο τὰ περὶ Σάπωρος, βασιλέως Περσῶν, εἰπὼν ὅτι καὶ τὴν
Συρίαν παρέλαβε καὶ ἔκαυσε σὺν τῇ μεγάλῃ Ἀντιοχείᾳ καὶ ἄλ- C
λας πόλεις πολλάς, ὁμοίως δὲ καὶ τὴν Κιλικίαν παρέλαβε, καύ-
σας Ἀλεξάνδρειαν τὴν μικρὰν καὶ Ῥωσσὸν καὶ Ἀνάζαρβον καὶ
Αἰγὰς καὶ Νικόπολιν καὶ ἄλλας πολλὰς πόλεις τῆς Κιλικίας, καὶ
διὰ τῆς Καππαδοκίας κατῆλθεν ἐπὶ τὰ Περσικὰ μέρη, καὶ ὅτι
ἀπήντησεν αὐτῷ Ἔναθος, βασιλεὺς Σαρακηνῶν, εἰς συμμαχίαν
αὐτοῦ, φησίν, ἐλθών, καὶ ἐφόνευσεν αὐτόν. Δομνῖνος δὲ ἀλη-
θέστερον μᾶλλον ἐξέθετο, εἰρηκὼς ὅτι ἐπὶ τὴν Κιλικίαν Σπά-
την τὸν σατράπην αὐτοῦ ἐξέπεμψε μετὰ πλήθους.

Ὁ δὲ Βαλεριανὸς βασιλεὺς ἐξελθὼν ἀπὸ Ῥώμης ἦν ἀπελθὼν
εἰς πόλεμον εἰς Μιζουλανόν· καὶ ἐγνώσθη αὐτῷ διὰ τὴν ἀνατο-
λήν, καὶ ἤθελεν ὑποστρέψαι καὶ κατελθεῖν εἰς τὴν ἀνατολήν, D

3. ὑπὸ] Immo δὲ ὑπό. 15. Αἰγὰς] Αἴγας Ox.

etum esse intellexerunt. Romanos itaque venisse existimantes, in fugam se conjiciunt omnes; praedaque tota relicta, fines suos repetunt; Sampsigeramo sacerdote interim, cum turba sua rustica, illos persequente. Per limites vero redeuntes eos adortus est Enathus, Romanorum socius, Rex Barbarorum Sarracenorum et Arabiae dominus: qui uxorem habuit Zenobiam, reginam Sarracenicam. Hic Saporis Persarum regis copias profligavit omnes; uti haec tradidit sapiens Domninus Chronographus. Aliter autem ista de Sapore, Persarum rege, scriptis suis tradidit sapientissimus Philostratus, affirmans Syriam nempe eum omnem, Antiochiam item magnam, aliasque urbes plurimas incendio devastasse. Ciliciam etiam, ejusque urbibus, Alexandria minore, Rhoso, Anazarbo, Aegis, Nicopoli, aliisque plurimis ignibus absumptis, Persidem suam per Cappadociam repetenti, Enathum, Saracenorum regem, ceu belli socium, ei obviam processisse, tandemque interfecisse. Caeterum his veriora sunt, quae apud Domninum habentur; qui Spatem Satrapam a Sapore in Ciliciam cum exercitu missum fuisse testatur.

Imperator autem Valerianus, Roma profectus, in Mediolanum arma movit: ubi de motibus Orientalibus certior factus, ab incoepto opere de-

καὶ οὐκ ἠδυνήθη, ἀλλὰ μεσασθεὶς ἐσφάγη ἐκεῖ εἰς Μιζουλανὸν, ὢν ἐνιαυτῶν ξα'.

O 394 Μετὰ δὲ τὴν βασιλείαν Βαλεριανοῦ ἐβασίλευσε Γαλλιενὸς ὁ καὶ Λικινιανὸς ἔτη ιδ'. ἦν δὲ τῇ ἡλικίᾳ τέλειος καὶ γενναῖος, μελάγχροος, οὐλόθριξ, δασυπώγων, εὔρινος, μεγαλόφθαλμος, μεγαλόψυχος· ἐφίλει δὲ τὸ Βένετον μέρος. καὶ ἧ μόνον ἐβασίλευσεν, ἐπεστράτευσε κατὰ Περσῶν καὶ κατῆλθεν εἰς ἐκδίκησιν Ῥωμαίων· καὶ πολλὰ παρέσχε τοῖς πραιδευθεῖσι καὶ ζήσασι, καὶ ἀνήγειρε τὰ καυθέντα καὶ ἐκούφισε τὰς συντελείας ἐπὶ ἔτη δ'. ἔκτισε δὲ καὶ ἱερὸν ἐν Ἐμίσῃ μέγα. καὶ συμβαλὼν πόλεμον πρὸς τοὺς Πέρσας,
E καὶ πολλῶν πεσόντων ἐξ ἀμφοτέρων τῶν μερῶν, ἐποίησεν εἰρήνης πάκτα. κἀκεῖθεν ὑποστρέψας ἀπῆλθεν εἰς τὴν Ἀραβίαν, καὶ συνέβαλε πόλεμον τῷ Ἐνάθῳ, βασιλεῖ Σαρακηνῶν βαρβάρων, καὶ ἐφόνευσεν αὐτόν, καὶ παρέλαβε τὴν Ἀραβίαν· καὶ ὑπέστρεψεν ἐν Ῥώμῃ, καὶ νόσῳ βληθεὶς τελευτᾷ, ὢν ἐνιαυτῶν ν'.

Μετὰ δὲ τὴν βασιλείαν Γαλλιενοῦ τοῦ καὶ Λικινιανοῦ ἐβα-
O 395 V 128 σίλευσε Κλαύδιος Ἀπολλιανὸς ἔτη θ'. ἦν δὲ διμοιριαῖος, λευκός, προκοίλιος, ἁπλόθριξ, πλάτοψις, ὑπόσιμος, ὑπόγλαυκος, ὑπόξανθος, στρεβλόστομος, μικρὸν ὑπότραυλος, μεγαλόψυχος· ἔχαιρε δὲ τῷ Πρασίνῳ μέρει.

Ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ ἔπαθε Νικομήδεια, μητρόπολις

17. Γαλλιένου Ox.

sistere voluit, in Orientem profectus: Verum ab hostibus undique obsessus, per eos non potuit; sed Mediolani occisus interiit, annum agens LXI.

Valerianum excepit Gallienus, qui et Licinianus; qui imperavit annos XIV. Erat hic statura justa, strenuus, niger, crispus, barba hispida, naso eleganti, oculis grandibus, magnanimus: Venetae autem Factioni studebat. Hic, imperio suscepto, in Persas arma movit; injurias Romanis illatas ulturus. Urbibus autem ab eis spoliatis civibusque superstitibus plurima largitus est; quaeque ignibus absumpta fuerant, instauravit; tributis etiam in quadriennium allevatis. Templum quoque ingens Emesae extruxit. Praelio autem cum Persis commisso, plurimi utrinque ceciderunt, itaque datis invicem pacis conditionibus, Imperator inde in Arabiam ducit iter. Ubi cum Enatho, Barbarorum Saracenorum rege, praelio inito, ipsum interfecit, atque Arabiam occupavit. Romam autem reversus ex morbo interiit, annum agens L.

Post Gallienum Licinianum imperavit Claudius Apollianus annos IX. Erat autem statura justam superante, candidus, ventrosus, crine plano, vultu patulo, subsimus, subcaesius, subflavus, ore detorto, aliquantum balbus, magnanimusque: Prasinae autem Factioni favebat.

Hujus sub imperio Nicomedia, Bithyniae Metropolis, divinam iram

τῆς Βιθυνίας τὸ τέταρτον αὐτῆς πάθος ἀπὸ θεομηνίας ἕως ποταμῶν καὶ Δακιβίζης. καὶ ἐφιλοτιμήσατο τοῖς ζήσασι πολλὰ καὶ τῇ πόλει.

Ἐν αὐτῷ χρόνῳ Ζηνοβία ἡ Σαρακηνή, ἡ Ἐνάθου γυνή, ἐκδικοῦσα τὸν θάνατον τοῦ ἰδίου αὐτῆς ἀνδρός, λαβοῦσα τοὺς συγγενεῖς αὐτοῦ, παρέλαβε τὴν Ἀραβίαν, κατεχομένην τότε ὑπὸ Ῥωμαίων, φονεύσασα καὶ τὸν δοῦκα Ῥωμαίων Τρασσὸν καὶ πᾶ- B σαν τὴν σὺν αὐτῷ βοήθειαν ἐπὶ τῆς αὐτοῦ Ἀπουλλιανοῦ τοῦ καὶ Κλαυδίου βασιλείας. ὁ δὲ αὐτὸς βασιλεὺς Κλαύδιος ἐν τῷ Σιρμίῳ ἦν πολεμῶν, κἀκεῖσε τελευτᾷ, ὢν ἐτῶν νϛ΄.

Μετὰ δὲ τὴν βασιλείαν Ἀπολλιανοῦ Κλαυδίου ἐβασίλευσε O 396 Κυντιλλιανὸς ἡμέρας ιζ΄. ἦν δὲ διμοιριαῖος, λεπτός, μακρόψις, μακρόρινος, μελάγχροος, ἁπλόθριξ, εὐόφθαλμος, μιξοπόλιος τὴν κάραν καὶ τὸ γένειον. καὶ τελευτᾷ ἐν τῷ παλατίῳ, ἠῤῥώστει γάρ, ὅτε ἀνηγορεύθη βασιλεὺς δεινῇ ἀνάγκῃ, ὢν ἐνιαυτῶν μα΄.

Μετὰ δὲ τὴν βασιλείαν Κυντιλλιανοῦ ἐβασίλευσεν ὁ θειό- C τατος Αὐρηλιανὸς ὁ πολεμικὸς ἔτη ϛ΄. ἦν δὲ μακρός, λεπτός, ὑποφάλακρος, μικρόφθαλμος, ὁλοπόλιος, μεγαλόψυχος, εὔσκυλτος· ἐφόρει δὲ διάδημα ἔχον ἀστέρα. ἡ μόνον δὲ ἐβασίλευσεν, ἤρξατο τὰ τείχη Ῥώμης κτίζειν γενναῖα· ἦν γὰρ τῷ χρόνῳ φθαρέντα. αὐτὸς δὲ ἐφίστηκε τῷ ἔργῳ, καὶ ἠνάγκαζε τὰ συνέργεια Ῥώμης ὑπουργεῖν τῷ κτίσματι, καὶ πληρώσας τὰ τείχη ἐν ὀλίγῳ

11. Κλαυδίου Ch., Κλαύδιος Ox. 23. πληρώσας Ch., πληρῶσαι Ox.

quarta vice experta est; terrae motibus adusque flumina et Dacibizem invalescentibus. Imperator autem urbi civibusque superstitibus plurima largitus est.

Eisdem temporibus Zenobia illa Saracenica, Enathi conjugis caedem ultura, adscitis sibi, qui sanguine illi conjuncti erant, Arabiam, quae tum Romanis paruit, occupavit, occiso Trasso, Romanorum Duce, copiisque ejus omnibus profligatis; Imperatore ipso Claudio Apolliano tum Sirmii bellum gerente: Ubi etiam diem suum obiit, annum agens LVI.

Post Claudium Apollianum imperavit Quintilianus dies XVII. Erat autem statura quae mediocrem excederet, gracilis, facie oblonga, nasutus, colore nigro, crine demisso, oculis pulchris, capite mentoque canescentibus. In palatio mortuus est, aetatis anno XLI, cum et quo tempore, pro summa rerum necessitate, Imperator factus esset, graviter aegrotaret.

Quintilianum excepit divinissimus Aurelianus ille bellicosus, qui imperavit annos VI. Erat hic procerus, gracilis, subcalvus, parvis oculis, canus, magnanimus, impatiens: Diadema vero stella adornatum gestavit. Hic quamprimum imperare coepit, moenia urbis Romae vetustate collapsa instauravit, munitissimaque fecit. Operi autem ipse institit; quaeque in Roma erant operariorum sodalitia, in structura hac operam suam navare

O 397 πάνυ χρόνῳ, ἐποίησε θείαν αὐτοῦ κέλευσιν ἵνα ἐξ ἐκείνου τοῦ χρόνου οἱ τῆς πόλεως πάσης ἐργαστηριακοὶ Αὐρηλιανοὶ D χρηματίζουσι, τοῦ βασιλικοῦ ὀνόματος λαβόντες τὴν ἀξίαν ὑπὲρ τιμῆς καὶ κόπων. ὁ δὲ αὐτὸς Αὐρηλιανὸς δεξάμενος μήνυσιν, ἐπεστράτευσε κατὰ Ζηνοβίας, βασιλίσσης Σαρακηνῶν, εἰς τὴν ἀνατολὴν ἀπελθών. ἐμηνύθη γὰρ περὶ αὐτῆς ὅτι ἐπραίδευσε καὶ ἔκαυσε τὰ ἀνατολικὰ μέρη ἕως τῶν ὁρίων Ἀντιοχείας τῆς μεγάλης, πλησίον τοῦ Ὀρόντου ποταμοῦ κατασκηνώσασα. ἣ μόνον δὲ κατέφθασεν ὁ αὐτὸς βασιλεὺς Αὐρηλιανὸς Ἀντιόχειαν, εὐθέως ὥρμησεν, ὡς ἔχει, κατ' αὐτῆς ἐξελθών· καὶ συγκρούσας κατέκοψε τὰ πλήθη αὐτῆς πάντα. παραλαβὼν δὲ αὐτὴν Ζηνοβίαν, ἐκάθισεν εἰς δρομωναρίαν κάμηλον· καὶ πομπεύσας αὐτὴν εἰς τὰς ἀνατολικὰς χώρας πάσας εἰσήγαγεν αὐτὴν καὶ εἰς E Ἀντιόχειαν τὴν μεγάλην. καὶ θεωρήσας ἐκεῖ ἱπποδρόμιον εἰσήγαγεν αὐτὴν εἰς δρομωναρίαν κάμηλον. καὶ κτίσας ἐν αὐτῇ Ἀντιοχείᾳ τόπον, ἔστησεν αὐτὴν ἄνω δεδεμένην ἐπὶ ἡμέρας τρεῖς· ὅντινα τόπον κτίσας ἐκάλεσε θρίαμβον. κἀκεῖθεν κατενεγκὼν αὐτὴν O 398 ἀπήγαγεν ἐν τῇ Ῥώμῃ, ὡς βασίλισσαν βαρβάρων Σαρακηνῶν· καὶ θριαμβεύσας αὐτὴν ἐν τῇ Ῥώμῃ τῷ πρῴην σχήματι ἀπεκεφάλισεν αὐτήν.

Ὁ δὲ αὐτὸς βασιλεὺς Αὐρηλιανὸς καὶ τὴν Ἀραβίαν, V 129 κατεχομένην ὑπὸ βαρβάρων Σαρακηνῶν, συγγενῶν Ἐνάθου Σαρακηνοῦ, φονεύσας πάντας ἐποίησεν αὐτὴν ὑπὸ Ῥωμαίους εἶναι ἐπαρχίαν.

2. χρηματίζουσι] χρηματίζωσι Ch. Conf. ad p. 121. B. 12. 15. δρομοναρίαν Ox.

coegit. Muro itaque exiguo temporis spatio ad exitum perducto, Edicto suo Imperatorio decrevit, ut quotquot Romae erant Operariorum in Mechanicis hisce sodalitiis, ab Imperatorio nomine *Aureliani* exinde vocarentur: nempe mercedem hanc, pro exantlatis laboribus, reportantes. Aurelianus vero per literas edoctus Zenobiam, Saracenorum reginam, partes orientales incendiis vastare, direptis omnibus, adusque Antiochiae magnae fines; et Orontem prope fluvium castra sua posuisse; in Orientem contra ipsam cum exercitu profectus est. Quamprimum autem Antiochiam appulsus fuerat, educto exercitu, sine mora reginam adortus est; praelioque commisso, et copiis ejus omnibus profligatis, ipsam quoque captivam habuit; et Camelo Dromadi superimpositam, per Orientem omnem in Triumpho diduxit. Antiochiam vero perductam, dum spectabat ipse Circensia, in Circum eam introduci jussit, dromadi insidentem. Pegmate quoque erecto, quod ob hoc *Triumphum* vocavit, in eo devinctam per triduum eam collocari jussit. Romam vero inde deportatam, ceu Reginam Barbarorum Saracenorum, ubi eadem qua Antiochiae pompa triumphandam ibi dedisset, caput ei amputavit.

Porro Imperator Aurelianus, illis Enathi cognatis interfectis, Arabiam, ab illis occupatam, Romano imperio rursus asseruit.

Ἐν δὲ τῷ μέλλειν αὐτὸν ἐξιέναι ἀπὸ Ἀντιοχείας τῆς μεγάλης ἐστασίασαν οἱ λεγόμενοι Μονητάριοι Ἀντιοχείας ἐπὶ αὐτοῦ, κράζοντες διὰ συνηθείας τινάς. καὶ ἀγανακτήσας κατ' αὐτῶν ἐτιμωρήσατο αὐτούς.

Ὁ δὲ αὐτὸς Αὐρηλιανὸς καὶ Δακίαν ἐποίησεν ἐπαρχίαν τὴν παραποταμίαν, πλησίον οὖσαν τοῦ Δανουβίου ποταμοῦ. συνέβαλε δὲ ὁ αὐτὸς Αὐρηλιανὸς ἄλλον πόλεμον· καὶ ὑπὸ τοῦ ἰδίου O 399
στρατοῦ ἐδολοφονήθη ἐν τόπῳ καλουμένῳ Καινῷ Φρουρίῳ, ὡς κακῶς στρατηγήσας τὸν στρατόν. καὶ τελευτᾷ ὢν ἐνιαυτῶν ξα'.

Μετὰ δὲ τὴν βασιλείαν Αὐρηλιανοῦ ἐβασίλευσε Τάκιτος B
Αὔγουστος μῆνας ζ'. ἦν δὲ διμοιριαῖος, λεπτός, ὑποφάλακρος, ἐλλόγιμος, κονδόθριξ, ὁλοπόλιος, λεπτόρινος, φρόνιμος. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἀνεφάνη Μανιχαῖός τις ὀνόματι Κέρδων, δογματίζων καὶ διδάσκων καὶ συνάγων ὄχλους. ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Τακίτου ἐγένετο πόλεμος ἐν τῇ Ποντικῇ· καὶ κατῆλθεν ὁ αὐτὸς βασιλεὺς πολεμῶν, καὶ ἐσφάγη ἐν Ζταννικῇ τῆς Πόντου ὢν ἐνιαυτῶν οε'.

Μετὰ δὲ τὴν βασιλείαν Τακίτου ἐβασίλευσε Φλωριανὸς Αὔγουστος μῆνας β'. ἦν δὲ κονδοειδής, παχύς, ἀναφάλας, λευκός, οἰνοπαὴς τοὺς ὀφθαλμούς, ὑπόσιμος, μιξοπόλιος τὴν κάραν καὶ τὸ γένειον, πάνυ δὲ δριμύτατος. ἐπεστράτευσε δὲ κατὰ O 400 C

2. Μονιτάριοι Ox. 8. Καινῷ Ch., Eusebius p. 393., Syncellus p. 385. C, Cedrenus p. 259. B, Κινῷ Ox. 10. Τακῖτος Ox. 13. Κερδὼν Ox.

Imperatore autem ab Antiochia magna discessuro, *Monetarii* Antiochenses, qui dicuntur, tumultuantes, veteres quasdam consuetudines reposcebant sibi. His vero infensus Aurelianus, poenis eos compescuit.

Idem Aurelianus Daciam quoque Parapotamiam, Danubio fluvio adjacentem, in Provinciae formam redegit. Aurelianus etiam in aliud bellum exivit: ubi per insidias a suis interfectus, (in loco, quod *Castrum Novum* appellatur,) ob Ducis officium male praestitum; diem suum obiit, annos natus LXI.

Post Aurelianum imperavit Tacitus Augustus menses VII. Erat hic statura justam superante, corpore tenui, subcalvus, eloquens, crine curto, canus, naso tenuiore, prudens. Hujus sub imperio extitit Cerdo quidam nomine, Manichaeus; qui factis Conciliabulis, dogmata sua in vulgus disseminavit. Sub eodem Tacito, bellum in regione Pontica gestum est; in quod Imperator ipse profectus, occisus est in Ztannica Ponti, annum agens LXXV.

Hunc excepit Florianus Augustus; qui regnavit menses II. Erat autem statura curta, crassus, recalvaster, colore candido, lippus, subsimus, capillitio mentoque canescentibus, ingenii acutissimi. Persis hic bellum

Περσῶν, καὶ ὡς κατέρχεται ἐν Ταρσῷ, ἐσφάγη ὑπὸ τῶν ἰδίων, ὢν ἐνιαυτῶν ξε'.

Μετὰ δὲ τὴν βασιλείαν Φλωριανοῦ ἐβασίλευσεν Ἥλιος Πρόβος ἔτη γ' καὶ μῆνας γ'. ἦν δὲ διμοιριαῖος, προγάστωρ, ἁπλόθριξ, ἀσσόκουρος, δασυπώγων, μελάγχρους, πυῤῥακής, εὐόφθαλμος, σοφὸς πάνυ· ἐφίλει δὲ τὸ Πράσινον μέρος. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἐπεκόσμησεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τὸ λεγόμενον Μουσεῖον, καὶ τὸ ἐν αὐτῷ Νυμφαῖον τὸ σιγματοειδές, γράψας ἐν αὐτῷ διὰ μουσαρίου τὸν Ὠκεανόν. ὁ δὲ αὐτὸς βασιλεὺς καὶ τὰς σιτήσεις τῆς αὐτῆς πόλεως Ἀντιοχείας ἐκ τοῦ δημοσίου ἔταξεν,
D ἵνα δωρεὰν παιδεύωσι διὰ θείας αὐτοῦ προστάξεως θεσπίσας.

Ὁ δὲ αὐτὸς βασιλεὺς Πρόβος ἐπολέμησε τοῖς Γότθοις ἐν τῷ Σιρμίῳ· καὶ ἐν τῷ πολεμεῖν αὐτὸν ἐγένετο λιμὸς κοσμικὸς μέγας, καὶ μὴ εὑρεθέντων ἀναλωμάτων ἐστασίασεν ὁ στρατός· καὶ ἐπελθόντες ἔσφαξαν αὐτὸν ἐν τῷ Σιρμίῳ ὄντα ἐνιαυτῶν ν'.

O 401 Μετὰ δὲ τὴν βασιλείαν Πρόβου ἐβασίλευσεν ὁ θειότατος Κᾶρος ἔτη β'. ἦν δὲ κονδοειδής, εὔστηθος, λευκός, ἁπλόθριξ, μιξοπόλιος, ὑπόγλαυκος, πλάτοψις, εὔρινος, παχύχειλος, ὑπερήφανος. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ὑπέταξε χώραν, ἥντινα ἐκάλεσε Καρίαν, ποιήσας αὐτὴν ἐπαρχίαν. ἐπεστράτευσε δὲ
E κατὰ Περσῶν, καὶ εἰσελθὼν παρέλαβε τὰ Περσικὰ μέρη ἕως Κτησιφῶντος πόλεως, καὶ ὑπέστρεψεν. ἐτείχισε δὲ ἐν τῷ λιμίτῳ

8. Μουσεῖον Ch., Μουσίον Ox. *ibid.* σιγματοειδὴς Ox. 9. αὐτὸ Ox. 22. λιμιτῷ Ox.

intulit: per Tarsum vero iter faciens, a suis interficitur, annos natus LXV.

Post Florianum imperavit Aelius Probus annos III et menses III. Erat hic statura justam superante, ventricosus, crine plano detonsoque, barba hirsuta, cute nigra, rufus, oculis pulchris, summe prudens. Factioni autem Prasinae studebat. Hic Musaeum, quod vocant, Antiochiae Magnae, et Nymphaeum, sigmatis forma extructum, adornavit; caelato ibi Oceano, opere Musivo. Insuper etiam Edicto Imperatorio jussit, uti ex aerario Publico Antiochensi, stipendia annua, pro juventute urbis, literis gratis instituenda, exhiberentur.

Idem Imperator Probus bellum adversus Gothos in Sirmio habuit; quo tempore fames ingens per totum orbem grassata est. Annona autem deficiente, seditione in exercitu excitata, a militibus interfectus est, annos L. natus.

Post Probum imperavit divinissimus Carus annos II. Erat autem statura brevi, pectore firmo, candidus, crine plano, subcanus, oculis subcaesiis, vultu lato, naso decoro, labiosus, superbus. Imperator iste regionem quandam subjugavit, quam in Provinciae formam redactam *Cariam* vocavit. Contra Persas etiam arma movit; eorumque regiones ad Ctesiphontem usque urbem occupavit. Inde vero reversurus Castrum ibi in

κάστρον, ὅπερ ἐποίησε πόλιν, δοὺς αὐτῇ καὶ δίκαιον πόλεως, ὃ ἐκάλεσεν εἰς ἴδιον ὄνομα Κάρας. ὑποστρέψας δὲ ἐν Ῥώμῃ, ἐξῆλθεν ἐν ἄλλῳ πολέμῳ Οὔννους, καὶ ἐσφάγη. ἐπὶ τῆς ὑπατείας Μαξίμου καὶ Ἰανουαρίου, ὢν ἐτῶν ξ΄ ἥμισυ.

Μετὰ δὲ τὴν βασιλείαν Κάρου ἐβασίλευσε Νουμεριανὸς Αὔ- V 130
γουστος ἔτη δύο. ἦν δὲ μακρός, λεπτός, ἁπλόθριξ, μάκροψις, O 402
λεπτοχαράκτηρος, εὐπώγων, μιξοπόλιος, εὔρινος, εὐόφθαλμος, μελάγχροος. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας διωγμὸς χριστιανῶν μέγας ἐγένετο· ἐν οἷς ἐμαρτύρησεν ὁ ἅγιος Γεώργιος ὁ Καππάδοξ καὶ ὁ ἅγιος Βαβυλᾶς· ἦν γὰρ ἐπίσκοπος Ἀντιοχείας τῆς μεγάλης. καὶ κατέφθασεν ὁ αὐτὸς βασιλεὺς Νουμεριανός, ἀπιὼν πολεμῆσαι κατὰ Περσῶν. καὶ θέλων κατασκοπῆσαι τῶν χριστιανῶν τὰ θεῖα μυστήρια, ἐβουλήθη εἰσελθεῖν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, ὅπου συνήγοντο οἱ χριστιανοί, εἰς τὸ θεάσασθαι τί ἐστιν ἃ ποιοῦσι μυστήρια, ἀκούσας ὅτι κρυπτόμενοι τελοῦσι τὰς λειτουργίας αὐ- B
τῶν οἱ αὐτοὶ Γαλιλαῖοι. καὶ ἐλθὼν πλησίον ἐξαίφνης ὑπηντήθη ὑπὸ τοῦ ἁγίου Βαβυλᾶ· καὶ ἐκώλυσεν αὐτόν, λέγων αὐτῷ ὅτι Μεμιαμμένος ὑπάρχεις ἐκ τῶν θυσιῶν τῶν εἰδώλων· καὶ οὐ συγχωρῶ σοι ἰδεῖν μυστήρια θεοῦ ζῶντος. καὶ ἀγανακτήσας ὁ βασιλεὺς Νουμεριανὸς ἐφόνευσεν αὐτὸν εὐθέως. καὶ ἐξῆλθεν ἀπὸ Ἀντιοχείας, καὶ ἐπεστράτευσε κατὰ Περσῶν· ἐν τῷ δὲ συγκροῦσαι αὐτὸν τὸν πόλεμον ἐπετέθησαν αὐτῷ οἱ Πέρσαι, καὶ O 403

4. καὶ om. Ox. Eadem Ἰαννουαρίου.

limitibus situm muro cinxit: datoque eidem Civitatis jure, a nomine suo *Caras* vocavit. Romam deinde reversus, belloque alio adversus Hunnos suscepto, interfectus est; Maximo et Januario Coss. annos LX. cum semisse natus.

Hunc excepit Numerianus Augustus, et regnavit annos II. Erat hic procerus, gracilis, crine lento, facie longa tenuique, barbatus, subcanus, naso decoro, oculis pulchris, colore nigro. Hujus sub Imperio, Christiani gravem Persecutionem perpessi sunt: quo tempore martyrium subierunt S. Georgius Cappadox et S. Babylas: erat enim hic Episcopus Antiochiae Magnae.

Numerianus enim Imperator, expeditione in Persas suscepta, [per Antiochiam] iter faciens, et Christianorum sacra Mysteria inspiciendi desiderio captus; Ecclesiam Sanctam, ubi Christiani congregati fuerunt, uti cujusmodi eorum essent Mysteria intelligeret, ingredi voluit: Audierat enim, Galilaeos in occulto, Litanias suas celebrare. Propius autem accedenti occurrebat S. Babylas, ingressum ejus prohibens, verbis hisce: „*At ego* non sinam te, Idolothytis conspurcatum, in Mysteria Dei viventis introspicere.“ Ad hoc indignatus Numerianus Imperator, eum absque mora neci tradidit. Antiochia deinde discedens adversus Persas proficiscitur. Persae autem, praelio cum eo commisso, graviter ei incubuerunt;

ἀνεῖλαν τὸ πολὺ πλῆθος τῆς βοηθείας αὐτοῦ, καὶ ἔφυγεν ἐν Κά-
ραις τῇ πόλει· καὶ φοσσεύσαντες οἱ Πέρσαι παρέλαβον αὐτὸν
αἰχμάλωτον, καὶ εὐθέως ἐφόνευσαν αὐτόν· καὶ ἐκδείραντες τὸ
δέρμα αὐτοῦ ἐποίησαν ἀσκόν, καὶ σμυρνιάσαντες ἐφύλαξαν
C αὐτὸν εἰς ἰδίαν δόξαν· τὸ δὲ λοιπὸν πλῆθος αὐτοῦ κατέκοψαν.
τελευτᾷ δὲ ὁ βασιλεὺς Νουμεριανὸς ὢν ἐνιαυτῶν λϛʹ.

Μετὰ δὲ τὴν βασιλείαν Νουμεριανοῦ ἐβασίλευσε Καρῖνος Αὔγουστος ὁ ἀδελφὸς αὐτοῦ ἔτη βʹ. ἦν δὲ κονδοειδής, παχύς, πλάτοψις, λευκός, οὐλόθριξ, ἀναφάλας, σπανός, μεγαλόψυχος. ἐφίλει δὲ τὸ Πράσινον μέρος.

Ἣ μόνον δὲ ἐβασίλευσεν, ἐπεστράτευσε κατὰ Περσῶν εἰς
ἐκδίκησιν τοῦ ἰδίου αὐτοῦ ἀδελφοῦ Νουμεριανοῦ· καὶ περιεγέ-
νετο αὐτῶν κατὰ κράτος. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐτελεύ-
τησαν οἱ ἅγιοι Κοσμᾶς καὶ Δαμιανὸς τῷ τρόπῳ τούτῳ, φθο-
D νηθέντες ὑπὸ τοῦ ἰδίου αὐτῶν ἐπιστάτου. ἦσαν γὰρ ἰατροὶ τὴν
ἐπιστήμην, ἠγαπῶντο δὲ ὑπὸ τοῦ βασιλέως Καρίνου, ὡς ποιοῦν-
O 404 τες ἰάσεις· συνέβη γὰρ τοῦτο γενέσθαι τῷ αὐτῷ Καρίνῳ βασιλεῖ.
μετὰ τὸ συγκροῦσαι τοῖς Πέρσαις καὶ τὰς ἐπάνω ἐνέγκαι καὶ κό-
ψαι ἐξ αὐτῶν ἄπειραν πλῆθος χειμῶνος βαρυτάτου γενομένου
ᾔτησαν οἱ Πέρσαι μηνῶν τριῶν ἔνδοσιν γενέσθαι· καὶ διὰ τὸ ἐπα-
χθὲς τοῦ χειμῶνος φειδόμενος τοῦ ἰδίου στρατοῦ, ὡς κοπωθέντι,
ἐνέδωκε τῶν τριῶν μηνῶν τὴν αἴτησιν τῆς εἰρήνης. καὶ λαβὼν
τὸ ἴδιον πλῆθος ἦλθεν ἐπὶ τὴν λεγομένην χώραν τῶν Κυρηστικῶν,

23. Κηρυστικῶν Ox. Vid. Ch. annotationem.

maximaque exercitus Imperatorii parte excisa; ipse fuga in Caras evasit. Persae vero urbem obsidione cingentes, captivum eum habuerunt; necique statim traditum, excoriarunt: detractamque ei pellem in utrem efformarunt: unguentisque conditam gloriae causa asservarunt: Reliquum vero quod fuit exercitus ejus penitus delerunt. Numerianus autem Imperator e vivis excessit annos natus XXXVI.

Post Numerianum imperavit Carinus Augustus, frater ejus, annos II. Erat autem statura curta, crassus, vultu lato, candidus, crine crispo, recalvaster, parcus, magnanimus: Factioni autem Prasinae studebat.

Hic, suscepto Imperio, absque mora Persis bellum intulit, Numeriani fratris in Vindictam: eosque penitus profligavit. Eodem imperante, Sancti illi, Cosmas et Damianus, domino suo invisi, neci traditi sunt, hoc modo. Erant hi professione Medici; quos Imperator etiam, ob curationes ab eis effectas, magni habuit: cui etiam ipsi hujusmodi quid contigerat. Post Persas praelio devictos et infinitam eorum multitudinem excisam, Persae trium mensium inducias petierunt. Imperator itaque, ob hyemis intemperiem, exercitus etiam sui bellis attriti rationem habens, conditiones pacis in tres menses concessit. Ipse interim in Cyrrhesticam, quam vocant, regionem contendit, ob exercitum suum reficiendum et ut

βουλόμενος καὶ τὸν ἴδιον στρατὸν ἀναπαῦσαι καὶ τοὺς πληγάτους θεραπευθῆναι. ἐλθόντος δὲ αὐτοῦ ἐν τοῖς Κυρηστικοῖς ἐν τῷ χειμῶνι, κἀκεῖ αὐτοῦ διάγοντος καὶ τὰ τοῦ πολέμου τρακταΐζοντος, E
συνέβη ἐξαίφνης τὴν ὄψιν αὐτοῦ εἰς τὰ ὀπίσω στραφῆναι. καὶ πολλῶν ἰατρῶν ἀκολουθούντων τῷ αὐτῷ βασιλεῖ καὶ μηδὲν αὐτὸν ὠφελησάντων, ἐκελεύσθησαν οἱ τῆς χώρας ἰατροὶ εἰσελθεῖν πρὸς τὸν βασιλέα, ὡς εἰδότες τοὺς ἀέρας τῆς ἑαυτῶν χώρας. ἐν οἷς εἰσῆλθε καὶ ὁ ἐπιστάτης τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ πρὸς τὸν βασιλέα, καὶ συνεισῆλθαν ἅμα αὐτῷ οἱ ἅγιοι. καὶ μηδὲν V 131
δυνηθέντων τῶν ἰατρῶν ὠφελῆσαι τὸν βασιλέα Καρῖνον, οἱ ἅγιοι O 405
Κοσμᾶς καὶ Δαμιανὸς λαθραίως διελέχθησάν τισι τῶν μεγιστάνων τοῦ βασιλέως ἵνα ἰάσωνται αὐτόν. καὶ εἰσηνέχθησαν οἱ ἅγιοι τῷ βασιλεῖ ἐν νυκτὶ καὶ αὐτοὶ ἰάσαντο αὐτὸν διὰ τῆς ἰδίας προσευχῆς. καὶ ἐπίστευσεν αὐτοῖς, λέγων ὅτι Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσί. καὶ ὑγιάνας καὶ ἀποκατασταθεὶς ὡς ἦν τὸ πρῴην εἶχεν αὐτοὺς ἐν τιμῇ καὶ πάντες οἱ μεγιστᾶνες αὐτοῦ. παρακληθεὶς δὲ παρ' αὐτῶν τῶν ἁγίων, ἐποίησεν εὐθέως θείαν αὐτοῦ διάταξιν εἰς πᾶσαν τὴν Ῥωμαϊκὴν πολιτείαν, ὥστε μηδένα τῶν λεγομένων χριστιανῶν ὑπομεῖναί τι κακόν, μήτε δὲ κωλύεσθαι θρησκεύειν ὡς βούλονται.

Ὁ δὲ ἐπιστάτης αὐτῶν εἰσαχθεὶς ἀπὸ τῶν ἄλλων ἀξιωματικῶν B
ἰατρῶν τῶν ἀκολουθούντων τῷ αὐτῷ βασιλεῖ, καὶ ἑωρακὼς τὴν πρὸς τοὺς ἁγίους ἀγάπην, ἣν εἶχεν ὁ βασιλεὺς πρὸς αὐτούς,

2. Κηρυστικοῖς Ox. Sic et p. seq. v. 2. 11. λαθρέως Ox.

vulnerati sanarentur. Ubi per hyemem commoranti, quaeque ad bellum spectabant, pertractanti, subito accidit faciem ejus in aversum detorqueri. Cumque ii, qui plurimi eum sequebantur, Medici nihil omnino proficerent, regionis illius Medici ad Imperatorem vocati sunt; ut qui regionis suae aëris vim penitus introspectam haberent. Quos inter ad Imperatorem accesserant cum domino suo Sancti illi, Cosmas et Damianus. Cumque in Imperatore sanando frustra fuissent Medici omnes; Sancti, Cosmas et Damianus, quosdam ex Primoribus Imperatoris clanculum alloquuti, rogabant, uti eum sanandi licentiam ipsi haberent. Per noctem itaque intromissi Sancti hi, precibus suis Imperatorem sanabant: qui fidem deinceps eis habens, dicebat; „Homines isti Servi sunt Dei altissimi." Imperator itaque, pristinae sanctitati restitutus, Sanctos hosce et ipse, et Optimates ejus, in honore habuerunt. Quin et rogatu eorum divino suo Edicto per totum Imperium Romanum protinus promulgato, cavebat; ne quis deinceps Christianos, quos vocant, violaret, aut a cultu suo prohiberet.

Caeterum eorum Dominus, ubi intellexerat quanto Sanctos hosce amore prosequebatur Imperator; a Primariis Medicis Imperatoris in id addu-

φθονῶν αὐτοῖς ἐκαρτέρησε. καὶ μετὰ τὸ ἐξελθεῖν τὸν αὐτὸν βασιλέα Καρῖνον ἐκ τῶν Κυρηστικῶν εἰς τὰ Περσικὰ δόλῳ ὁ ἐπιστάτης τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ λαβὼν αὐτοὺς μετὰ τῶν ἰδίων αὐτοῦ ἀνθρώπων ἐν τοῖς ὄρεσιν ἐκρήμνισεν αὐτούς, ὡς ὄντας ἐκ τοῦ δόγματος τῶν χριστιανῶν, καὶ οὕτως οἱ δίκαιοι ἐτελειώθησαν.

O 406 Ἐν δὲ τῷ μέσῳ χρόνῳ τοῦ πολέμου ὁ αὐτὸς Καρῖνος τελευτᾷ ἰδίῳ θανάτῳ, ὢν ἐνιαυτῶν λβ΄.

C Μετὰ δὲ τὴν βασιλείαν Καρίνου ἐβασίλευσε Διοκλητιανὸς ἔτη κ΄ καὶ μῆνας θ΄. ἦν δὲ μακρός, λεπτός, ξήροψις, ὁλοπόλιος τὴν κάραν καὶ τὸ γένειον, λευκὸς τῷ σώματι, γλαυκός, παχύρινος, ὑπόκυρτος, μεγαλόψυχος πάνυ καὶ φιλοκτίστης. ἀνηγορεύθη δὲ βασιλεὺς ἐπὶ τῆς ὑπατείας Βάσσου καὶ Κυντιανοῦ.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐγένετο σκότος μέγα πᾶσαν τὴν ἡμέραν· μετὰ δὲ τρία ἔτη τῆς βασιλείας αὐτοῦ ἐποίησε Καίσαρα τὸν υἱὸν αὐτοῦ Μαξιμιανὸν τὸν καὶ Ἑρκουλλιανόν. τῶν δὲ Περσῶν κινησάντων ὁπλισάμενος ὁ Διοκλητιανὸς ἐπεστράτευσεν ἅμα τῷ Μαξιμιανῷ. καὶ φθασάντων τῶν αὐτῶν Ἀντιόχειαν τὴν μεγάλην, ἔπεμψεν ὁ αὐτὸς Διοκλητιανὸς Μαξιμιανὸν τὸν Καί-
D σαρα κατὰ Περσῶν καὶ ἔμεινεν ὁ αὐτὸς Διοκλητιανὸς ἐν Ἀντιοχείᾳ. καὶ ἔκτισεν ἐκεῖ παλάτιον μέγα, εὑρὼν θεμελίους τεθέντας πρῴην μὲν ὑπὸ Γαλλιηνοῦ τοῦ καὶ Λικιννιανοῦ. ἔκτισε δὲ ὁ αὐ-

2. δόλῳ Ch., δόλον Ox. 4. ἐκρήμνισεν Ch., ἐκρέμνισεν Ox. 16. τὸν καὶ Ἑρκουλλιανόν] „Ἑρκούλιος aliis omnibus, tam Graecis, quam Latinis, atque etiam Nostro infra dictus est." Ch. V. p. 133. C.

ctus summe eos invisos habuit: Quam primum vero Imperator ex Cyrrestica regione in Persidem discesserat, servis suis stipatus, per dolum Sanctos illos ad montes abductos, tanquam Christiani dogmatis sectatores, praecipites dedit. Talem itaque vitae exitum Justi hi habuerunt.

Imperator autem Carinus, medio belli tempore, naturae concessit, annos natus XXXII.

Carinum excepit Diocletianus; qui imperavit annos XX, et menses IX. Erat hic procerus, gracilis, facie macilenta, capite, barbaque canus, colore corporis pallente, oculis caesiis, naso crasso, subcurvus, summe magnanimus, aedificandique studiosissimus. Imperator vero designatus est, Basso et Quintiano Coss.

Hoc Imperante, tenebrae profundae per diem integrum orbi incubuerunt. Tertio autem imperii anno exacto, Maximianum filium, qui et Herculianus, Caesarem creavit. Persis autem arma sumentibus, Diocletianus, cum Maximiano, in eos profectus est. Per Antiochiam vero magnam facto itinere, Diocletianus, Maximiano contra Persas misso, ibidem commoratus est: ubi etiam Palatium ingens extruxit, inventis ibi jactis olim a Gallieno Licinniano fundamentis. Balneum etiam Publicum urbis in planicie extruxit, prope Circum veterem; quod Diocletianum vocavit.

τὸς Διοκλητιανὸς καὶ δημόσιον λουτρὸν εἰς τὴν πεδιάδα, πλησίον (O 407) τοῦ παλαίου ἱππικοῦ, ὅπερ ἐκάλεσε τὸ Διοκλητιανόν. ἔκτισε δὲ καὶ ὡρεῖα λόγῳ ἀποθέτων σίτου· καὶ μέτρα δὲ σίτου πᾶσιν ἔδωκε καὶ τῶν πιπρασκομένων ἄλλων πάντων διὰ τὸ μὴ ἐπηρεάζεσθαί τινα τῶν ἀγοραίων ἀπὸ τῶν στρατιωτῶν· ἔκτισε δὲ καὶ τὸ στάδιον τὸ λεγόμενον ἐν Δάφνῃ διὰ τοὺς Ὀλυμπικοὺς καὶ τοὺς λοιποὺς ἀγωνιστάς, ὥστε μὴ ἀπιέναι ἐν κοτρίγαις καὶ στεφανοῦσθαι ἐν Ἀργυρῷ ποταμῷ, ἀλλὰ μετὰ τὸ ἀγωνίσασθαι πάντας ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ ἀνιέναι αὐτοὺς ἐν τῇ λεγομένῃ Δάφνῃ, καὶ (E) μὴ ἵνα τοσοῦτον διάστημα ὁδοῦ ἀπέρχωνται ἐν τῷ Ἀργυρῷ ποταμῷ ἐν κοτρίγαις τῆς Κιλικίας, καὶ οἱ Ὀλυμπικοὶ καὶ οἱ Ἀντιοχεῖς ἀπιόντες κατὰ τὸ Ὀλύμπια, καθὼς καὶ ἐν τῇ θείᾳ αὐτοῦ διατάξει ἐκέλευσεν ἐν Δάφνῃ δαφνοῦσθαι τοὺς ἀγωνιζομένους ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων. ἔκτισε δὲ ἐν αὐτῷ τῷ σταδίῳ Δάφνης ἱερὸν Ὀλυμπίου Διός, καὶ ἐν τῇ σφενδόνῃ τοῦ αὐτοῦ σταδίου ἔκτισεν ἱερὸν τῇ Νεμέσει. ἀνενέωσε δὲ καὶ τὸ τοῦ Ἀπόλλωνος ἱερόν, (V 132) κοσμήσας διαφόροις μαρμάροις. ἔκτισε δὲ καὶ τῇ Ἑκάτῃ (O 408) ἱερὸν καταχθόνιον βαθμῶν τξε΄. ἔκτισε δὲ ἐν Δάφνῃ καὶ παλάτιον εἰς τὸ τοὺς ἀνιόντας βασιλεῖς ἐκεῖ καταμένειν, ἐπειδὴ πρῴην εἰς τὸ ἄλσος ἐποίουν παπυλεῶνας καὶ κατέμενον. ἔκτισε δὲ καὶ φαβρικὰς τρεῖς πρὸς τὸ κατασκευάζεσθαι ὅπλα τῷ στρατῷ· ἔκτισε δὲ καὶ ἐν Ἐδέσῃ φαβρικὰ διὰ τὸ τὰ ὅπλα ἐγγὺς χορηγεῖσθαι· ὡσαύτως δὲ καὶ ἐν Δαμασκῷ ἔκτισε φαβρικά, ἐννοήσας

3. ἀποθετῶν Ox. 10. μὴ ἵνα] ἵνα μή? 13. δαφνοῦσθαι] „Forte στεφανοῦσθαι." Ch. 16. Νεμέσει Ch., Νεμέσῃ Ox.

Horrea quoque, pro frumentis condendis, extruxit: mensuris etiam frumenti, aliorumque venalium omnium publice constitutis: ne, qui mercaturam exercerent, a milite damno aliquo afficerentur. Stadium quoque, quod vocant, in Daphne extruxit, propter Olympicos aliosque Agonistas; scilicet ne quadrigis vecti, ad Argyrum fluvium proficisci tenerentur, ad Coronationem: post certamina Antiochiae magnae finita, Daphnem peterent; neque in posterum tantum itineris intervallum emetirentur, ad Argyrum fluvium quadrigis devecti Cilicibus, Antiochenses, quique in Olympicis Agonistae fuissent. Post ludos itaque finitos, juxta Edictum Imperatorium, Daphnem deinceps petebant, uti ibi coronarentur. Condidit etiam, in hoc Daphnes stadio, fanum Jovis Olympii: et in ejusdem stadii funda, templum Nemesi erexit. Apollinis quoque fanum instauravit; variisque Marmoribus exornavit. Templum etiam subterraneum Hecate sacravit; in quod per gradus CCCLXV descendebatur. Palatium insuper in Daphne extruxit; ubi Imperatores, illuc adventantes commorarentur: cum antea tentoriis solum, ad Lucum defixis, uterentur. Quinetiam fabricas ibi erexit, in quibus arma, in exercitus usum, fabricarentur. Edessae etiam fabricas erexit, uti armamenta belli ad manum haberent. Similiter etiam in Damasco fabricas extruxit; ob frequentes Saracenorum incursiones.

τὰς ἐπιδρομὰς τῶν Σαρακηνῶν. ἔκτισε δὲ καὶ ἐν Ἀντιοχείᾳ Μόνηταν, ὥστε χαράσσεσθαι ἐκεῖ νομίσματα· ἦν γὰρ ἡ αὐτὴ Μό-
B νητα ἀπὸ σεισμοῦ καταστραφεῖσα· καὶ ἀνενεώθη. ἔκτισε δὲ καὶ λουτρόν, ὅπερ ἐκάλεσε συγκλητικόν, ὁμοίως δὲ καὶ ἄλλα γ' λουτρά.

Ὁ δὲ Καῖσαρ Μαξιμιανὸς ἀπελθὼν κατὰ Περσῶν καὶ νικήσας αὐτοὺς κατὰ κράτος ἐπανῆλθεν ἐν Ἀντιοχείᾳ, λαβὼν αἰχμάλωτον τὴν τοῦ βασιλέως τῶν Περσῶν γυναῖκα, ἐκείνων φυγόντων μετὰ ὀλίγων ἀνδρῶν εἰς τὸ Ἰνδολίμιτον, τοῦ πλήθους αὐτῶν ἀναλωθέντος. ἡ δὲ βασίλισσα τῶν Περσῶν Ἀρσανὴ ᾤκησεν ἐν Δά-
O 409 φνῃ φυλαττομένη κατὰ κέλευσιν τοῦ βασιλέως Ῥωμαίων Διοκλητιανοῦ μετὰ τιμῆς ἐπὶ χρόνων. καὶ μετὰ ταῦτα πάκτων εἰρήνης γενομένων ἀπεδόθη Πέρσαις τῷ ἰδίῳ αὐτῆς ἀνδρί, φυλαχθεῖσα μετὰ τιμῆς.

C Ἐν αὐτῷ δὲ τῷ χρόνῳ δωρεαὶ παρεσχέθησαν παρὰ τοῦ βασιλέως πάσῃ τῇ Ῥωμαίων πολιτείᾳ ὑπὲρ τῶν ἐπινικίων.

Ἔκτισε δὲ καὶ εἰς τὰ λίμιτα κάστρα ὁ αὐτὸς Διοκλητιανὸς ἀπὸ τῆς Αἰγύπτου ἕως τῶν Περσικῶν ὅρων, τάξας ἐν αὐτοῖς στρατιώτας λιμιτανέους, προχειρισάμενος καὶ δοῦκας κατὰ ἐπαρχίαν ἐνδοτέρω τῶν κάστρων καθέζεσθαι μετὰ πολλῆς βοηθείας πρὸς παραφυλακήν. καὶ ἀνήνεγκαν τῷ βασιλεῖ καὶ τῷ Καίσαρι στήλας ἐν τῷ λιμίτῳ τῆς Συρίας.

Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἐτυράννησαν οἱ Αἰγύπτιοι καὶ ἐφόνευσαν τοὺς ἄρχοντας αὐτῶν. καὶ ἐπεστράτευσε κατ' αὐτῶν ὁ αὐ-

9. Ἰνδολιμιτὸν Ox.

Antiochiae etiam Monetarum officinam, qua nummi cuderentur, terraemotibus collapsam, redintegravit. Balneum etiam, praeter alia tria a se condita, quartum quoque extruxit, quod Senatorium nominavit.

Maximianus interim Caesar, Persis penitus debellatis, Antiochiam revertitur; Captivam secum ducens Persici regis uxorem: quam paucis stipatam, (exercitu reliquo funditus deleto,) ad Indiae limites, una cum Rege Marito fugientem, assecutus fuerat. Regina autem Persarum, Arsane, Diocletiani Romani Imperatoris jussu, in Daphne annis aliquot, omni cum honore custodiebatur. Post vero, pacis conditionibus invicem initis, Regina, in Persidem missa, conjugi suo restituta est.

Eodem tempore Imperator, ob partam victoriam, ubique per imperium Romanum Largitiones distribuit.

Idem Diocletianus Castra passim per confinia extruxit, ab Aegypto usque ad fines Persicos; collocatis ibi Limitaneis militibus, Ducibus etiam per provincias constitutis, qui Castris hisce cum armata manu insidentes, loca custodirent. Imperatori itaque et Caesari stativas ubique per confinia Syriae posuerunt.

Sub hoc tempus Aegyptii in Praefectos suos insurgentes, eos interfecerunt. Imperator itaque in eos arma movit, Alexandriamque Magnam

τὸς Διοκλητιανός, καὶ ἐπολέμησεν ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ, πο-
λιορκήσας αὐτὴν καὶ ποιήσας φοσσάτα, κόψας τὸν ἀγωγὸν καὶ D
στρέψας αὐτὸν ἀπὸ τοῦ λεγομένου Κανώπου καὶ παρέχοντα χρῆ-
σιν τῇ πόλει. παραλαβὼν δὲ Ἀλεξάνδρειαν ἐνέπρησεν αὐτήν·
εἰσῆλθε δὲ ἐν αὐτῇ ἔφιππος, τοῦ ἵππου αὐτοῦ περιπατοῦντος ἐπά-
νω τῶν λειψάνων. ἦν δὲ κελεύσας τῷ ἐξπεδίτῳ μὴ φείσασθαι
τοῦ φονεύειν, ἕως οὗ ἀνέλθῃ τὰ αἵματα τῶν σφαζομένων ἕως τὸ O 410
γόνυ τοῦ ἵππου οὗ ἐκάθητο. συνέβη δὲ κατὰ κέλευσιν θεοῦ πλη-
σίον τῆς πόρτας εἰσελθόντος αὐτοῦ τὸν ἵππον ἐν ᾧ ἐκάθητο ὁ
βασιλεὺς πατῆσαι λείψανον ἀνθρώπου καὶ κονδάψαντα εἰς αὐτὸ
γονατίσαι καὶ αἱματωθῆναι τὸ γόνυ τοῦ ἵππου· καὶ προσεσχηκὼς
ἔδωκεν ἰνδουλγεντίας, καὶ ἐπαύσαντο οἱ στρατιῶται κόπτοντες τοὺς
πολίτας Ἀλεξανδρείας. καὶ ἀνέστησαν οἱ αὐτοὶ Ἀλεξανδρεῖς στή- E
λην χαλκῆν τῷ ἵππῳ ὑπὲρ εὐχαριστίας· ὅστις τόπος οὕτως ὀνο-
μάζεται ἕως τῆς σήμερον ὁ ἵππος Διοκλητιανοῦ. καὶ ἔκτοτε ἐχρη-
μάτισεν ὀνομάζεσθαι πρῶτον ἔτος Ἀλεξανδρείας. ἔστιν οὖν ἐξ
ἐκείνου τοῦ χρόνου ὁ χρηματισμὸς τῆς πρὸς Αἴγυπτον Ἀλεξαν-
δρείας.

Ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ ἀνεφάνη τις Μανιχαῖος ἐν Ῥώμῃ
τῇ πόλει ὀνόματι Βοῦνδος· ὅστις ἀπέσχισεν ἐκ τοῦ δόγματος τῶν V 133
Μανιχαίων, παρεισαγαγὼν ἴδιον δόγμα καὶ διδάσκων ὅτι ὁ ἀγα-
θὸς θεὸς ἐπολέμησε τῷ πονηρῷ καὶ ἐνίκησεν αὐτόν, καὶ δεῖ τὸν
νικητὴν τιμᾶν. ἀπῆλθε δὲ καὶ ἐν Περσίδι διδάσκων. ὅπερ δό-

9. εἰσελθότος Ox., εἰσελθόντος Ch. 12. ἰνδουλγεντίας Ch., ἰνδουλκεντίας Ox. 22. τὸν] τὴν Ox.

obsidione cinxit: et fossa egesta, rescissoque qui ibi urbis in usum erat, aquaeductu, cursuque aquarum per aliam a Canopo viam diverso, urbem tandem cepit, captamque incendiis vastavit. Imperator autem, equo insidens, urbem ingressus est; equo interim occisorum cadavera calcante. Exercitui vero in mandata dederat, uti non prius a caedibus abstinerent, quam ad equi cui insidebat genua sanguis occisorum pertingeret. Contigit autem, (Deo ita volente,) Imperatore urbem ingrediente, a Portis ipsis non procul, equum ejus, dum per cadavera incedit, trunco hominis impingere; equique, ex casu illo labascentis, genu sanguine tinctum esse. Quo viso, imperator militem repressit; et venia data non ulterius in Alexandrinos saevire permisit. Alexandrini itaque statuam aeream Equo grati posuerunt; locumque eum, *Diocletiani Equum*, usque adhuc appellant. Insuper etiam Alexandrini annum suum primum exinde numerabant. Hoc itaque initium est Aerae Alexandrinorum in Aegypto.

Hujus sub imperio, prodiit Romae Manichaeus quidam, nomine Bundus: qui neglectis Manichaeorum Placitis, Dogmata sua invexit. „Docebat hic, Bonum Deum cum malo bellum habuisse; Malumque a Bono superatum; honorem proinde Victori tribuendum.“ In Persidem quoque

γμα Μανιχαϊκὸν παρὰ Πέρσαις καλεῖται κατὰ τὴν αὐτῶν γλῶσσαν τὸ τῶν Δαρισθενῶν, ὃ ἑρμηνεύεται τὸ τοῦ ἀγαθοῦ.

O 411 Ὁ δὲ αὐτὸς Διοκλητιανὸς βασιλεὺς ἐποίησε διωγμὸν χριστιανῶν· καὶ ἐτιμωρήθησαν πολλοὶ μαρτυρήσαντες, ἐν οἷς ἐμαρτύρησε καὶ ὁ ἅγιος Μηνᾶς· καὶ αἱ ἐκκλησίαι δὲ καθῃρέθησαν, καὶ ἀπειλαὶ δὲ καὶ φόβος ἦν πολύς.

B Ἐν δὲ τῷ χρόνῳ τῶν Ὀλυμπίων κατέφθασεν ἐν Ἀντιοχείᾳ ὁ αὐτὸς βασιλεὺς Διοκλητιανός, ἐλθὼν ἐξ Αἰγύπτου. καὶ τοῦ Ὀλυμπικοῦ ἀγῶνος μέλλοντος ἐπιτελεῖσθαι, ἐφόρεσε τὸ σχῆμα τὸ τοῦ ἀλυτάρχου ὁ βασιλεὺς Διοκλητιανός. τὴν δὲ στολὴν ὁ ἀλύταρχος ἄσπρον ὁλοσηρικὸν ἐφόρει· ὁ δὲ βασιλεὺς ἀντὶ τοῦ ἄσπρου ἐφόρεσε πορφυροῦν, τὰ δὲ ἄλλα πάντα ὡς ἦν ἔθος τῷ ἀλυτάρχῃ φορεῖν, κρατῶν τὴν ἱερὰν ῥάβδον καὶ προσκυνῶν τὸν δῆμον, ἐθεώρησε τὸν Ὀλυμπικὸν ἀγῶνα τὰς νενομισμένας πάσας ἡμέρας. καὶ ἐκ τῶν ἀξιωματικῶν αὐτοῦ κατήρχοντό τινες ἐν τοῖς Ὀλυμπικοῖς ἀγῶσιν ἐπιδεικνύμενοι ἀρετῆς χάριν· καὶ οἱ μὲν ἐπάλαιον, C οἱ δὲ ἐπύκτευον, οἱ δὲ ἐπαγκρατίαζον, οἱ δὲ ἔτρεχον· καὶ τοῖς νικῶσι παρεῖχε σάκρας καὶ πᾶσι πολλὰ ἐφιλοτιμήσατο· καθὼς Δο- O 412 μετιανὸς ὁ σοφώτατος συνεγράψατο. καὶ ἀλυτάρχης ἐν Ἀντιοχείᾳ ὁ αὐτὸς Διοκλητιανὸς καὶ ἀποθέμενος τὸ βασιλικὸν σχῆμα καὶ μετὰ τὸ πληρῶσαι τὰ Ὀλύμπια οὐχ εἵλετο βασιλεῦσαι, λέγων ὅτι Ἀπεθέμην τὴν βασιλείαν καὶ ἐφόρεσα σχῆμα τοῦ ἀθα-

19. Fort. ἀλυταρχήσας.

profectus, ibi etiam dogmata sua disseminavit. Manichaeorum vero dogma hoc Persae, idiomate suo, *Daristhenorum* vocant: quasi dicas, *Dei Boni* dogma.

Idem Diocletianus Imperator Christianos persecutus est; quorum multi Martyrio coronati sunt: inter quos fuit Sanctus Menas. Quin et templa eorum a fundamentis eversa sunt: graves insuper minae, terroresque Christianis incussi.

Olympicis autem appropinquantibus, Imperator Diocletianus, ex Aegypto Antiochiam venit: Ludisque celebratis, ipse Alytarchae habitum suscepit. Moris autem erat, ut Alytarcha stolam albam, holosericam gestaret: imperator vero, pro alba, purpuream sibi sumpsit; in caeteris habitum Alytarchae per omnia referebat: sacramque manu ferens virgam, et populum pro more veneratus, per dies constitutos omnes, Olympica Certamina spectabat. Itaque ex Optimatibus etiam ejus nonnulli eo ad Certamina convenerunt, virtutis suae specimina exhibituri: quorum hi palaestra, illi pugilatu, alii Pancratio, cursu vero alii decertabant. Victoribus autem *Sacras* dedit; omnibusque munera affatim dispertivit, uti sapientissimus Dometianus haec scripta reliquit. Diocletianus autem Alytarcha Antiochiae factus, Imperatorium habitum deposuit: nec amplius, finitis Olympicis, Imperatorio fungi munere voluit; dicens: *Imperio memet*

νίτου Διός. καὶ ἔκτοτε ἔμεινεν οὕτως. τελευτᾷ δὲ ἰδίῳ θανάτῳ, ὢν ἐνιαυτῶν οβʹ.

Μετὰ δὲ τὸ ἀποθέσθαι τὸν Διοκλητιανὸν τὴν βασιλείαν ἐβασίλευσε Μαξιμιανὸς ὁ καὶ ἐπίκλην Ἑρκούλιος ἔτη ιθʹ. καὶ ἀνελθὼν ἐν Ῥώμῃ ἐθριάμβευσε τὴν κατὰ Περσῶν καὶ Αἰγυπτίων νί- D *κην. ἦν δὲ μακρός, εὐσθενής, μιξοπόλιος τὴν κάραν, ἁπλόθριξ, τελειοπώγων, μελάγχροος, εὔρινος, εὐόφθαλμος, ἐλλόγιμος. ἠγωνίσατο δὲ καὶ αὐτὸς κατὰ χριστιανῶν καὶ ἐτιμωρήσατο πολλοὺς ἁγίους· ἐν οἷς ἐμαρτύρησεν ὁ ἅγιος Πανταλέων καὶ ὁ ἅγιος Ἡσύχιος καὶ ὁ ἅγιος Ἕρμιππος καὶ ὁ ἅγιος Ἑρμόλαος καὶ ὁ ἅγιος Ἑρμοκράτης.*

Καὶ πάλιν Ὀλυμπίων ἀγομένων ἐν τῇ αὐτοῦ βασιλείᾳ, ἐλθόντος αὐτοῦ ἐν τῇ ἀνατολῇ κατὰ Ἀρμενίων τυραννησάντων Ῥωμαίους, νικήσας αὐτοὺς κατὰ κράτος καὶ ὑποτάξας αὐτούς, μαθὼν δὲ τὸν καιρὸν τῶν Ὀλυμπίων ὑπάρχειν, παρεγένετο ἐν Ἀν- E *τιοχείᾳ διὰ τὰς ἐπισήμους ἡμέρας τοῦ ἀγῶνος. καὶ φορέσας καὶ* O 413 *αὐτὸς τὸ σχῆμα τοῦ ἀλυτάρχου ἀλυτάρχησε· καὶ ἠγωνίσαντο καὶ ἐπὶ αὐτοῦ ἐκ τοῦ δήμου τέκνα συγκλητικῶν καὶ συγκλητικοὶ νεώτεροι· καὶ οἱ μὲν ἐπάλαιον, οἱ δὲ ἔτρεχον, οἱ δὲ ἐπαγκρατίαζον, οἱ δὲ ἡνιόχουν, οἱ δὲ ἐπύκτευον, οἱ δὲ ἐφωνάσκουν· καὶ οἱ νικῶντες ἐλάμβανον μείζους ἀξίας, οἱ δὲ προέκοπτον ἐν ταῖς στρατείαις δίχα τῶν διδομένων αὐτοῖς φιλοτιμιῶν. ἀπέθετο δὲ καὶ αὐτὸς*

17. ἀλυτάρχησε] ἠλυτάρχησε Ch. V. vol. II. p. 49. C. 20. ἐφωνάσκων] „ἐφωνάσκουν, uti etiam supra habet, in Commodo." Ch. 21. στρατείας Ox.

abdicavi; Jovisque immortalis habitum gestavi. Hunc itaque vitae statum deinceps amplexus est: naturaeque tandem cessit, annos natus LXXII.

Post depositum vero a Diocletiano Imperium, a Maximiano Herculeo susceptum est; qui imperavit annos XIX. Hic Romam reversus, de Persis et Aegyptiis devictis triumphum egit. Erat autem procerus, robustus, capite canescente, crine plano, barbatus, colore nigro, naso eleganti, oculis pulchris, eloquens. Infensus et hic quoque Christianis fuit; plurimosque Sanctos neci dedit; ex quibus fuerunt S. Pantaleo, S. Hesychius, S. Hermippus, S. Hermolaus et S. Hermocrates, Martyres.

Accidit autem etiam hujus sub imperio, Olympica celebrari, quo tempore Armenios, adversus Romanum imperium rebellantes, exercitu in Orientem ducto, penitus subegerat. Certior autem factus, Olympicorum celeberrimam jam instare Panegyrin, Antiochiam venit: ubi et ipse, Alytarchae habitum gestans, munia ejus executus est. Qui autem ibi convenerant Senatorum filii, Senatores etiam Juniores ipsi, coram eo decertabant; hi quidem palaestra, illi cursu, alii Pancratio, aurigatione alii, alii Pugilatu, nonnulli etiam voce certantes. Victorum autem (praeter munera quae eis largitus est,) hos quidem majoribus auxit honoribus, illos vero ad Militares provexit dignitates. Maximianus autem ipse, posito Impe-

Μαξιμιανὸς τὴν βασιλείαν καὶ τὴν πορφύραν καὶ πᾶσαν τὴν βα-
V 134 σιλικὴν φορεσίαν, καὶ ἐφόρεσε τὰ ἀλυταρχικά. καὶ μετὰ τὸ πλη-
ρωθῆναι τὰς ἡμέρας τῶν Ὀλυμπίων οὐχ εἵλετο οὐδὲ αὐτὸς βασι-
λεῦσαι, ἀλλ' ἐπανελθὼν ἐν τῇ Ῥώμῃ ἀπετάξατο τῆς βασιλείας
καὶ ἔμεινεν. οὕτως ἕως θανάτου. καὶ μετὰ χρόνον τελευτᾷ ἰδίῳ
θανάτῳ, ὢν ἐνιαυτῶν νζ.

Καὶ μετὰ τὸ ἀποθέσθαι τὴν βασιλείαν Μαξιμιανὸν ἐβασίλευ-
σε Μαξέντιος ὁ καὶ Γαλέριος ἔτη γ΄. ἦν κονδοειδής, πλατύς,
O 414 οὐλόθριξ, λευκός, εὐπώγων, ὑπόστραβος, σιμός, ὀργίλος· ἐφί-
λει δὲ τὸ Βένετον μέρος.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας Ἰάμβλιχος ὁ φιλόσοφος ἐδίδα-
B σκεν, οἰκῶν ἐν Δάφνῃ ἕως τῆς τελευτῆς αὐτοῦ.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ οἱ Πέρσαι συμμαχοῦντες Ἀρμενίοις
πολεμηθεῖσιν ἅμα αὐτοῖς ἐπελθόντες ἐν τοῖς Ῥωμαϊκοῖς ἐπραίδευ-
σαν χώρας. καὶ ἐπεστράτευσε κατ' αὐτῶν ὁ αὐτὸς Μαξέντιος
καὶ ἐπολέμησε Πέρσαις, καὶ ἀνήλωσεν αὐτοὺς διὰ τῆς Ἀρμενίας
κατελθὼν κατ' αὐτῶν, καὶ ἀπέσπασε χώρας ἐκ τῶν Περσαρμε-
νίων καὶ ἐποίησεν ὑπὸ Ῥωμαίους· ἥντινα ἐκάλεσε πρώτην καὶ
δευτέραν Ἀρμενίαν Ῥωμαίων. ἐν τῷ δὲ εἶναι τὸν αὐτὸν Μαξέν-
τιον εἰς Περσαρμενίαν ἐπέῤῥιψαν οἱ Πέρσαι εἰς τὴν Ὀσδροηνὴν
καὶ παρέλαβον πόλιν καὶ ἔκαυσαν καὶ ἔστρεψαν, καὶ λαβόντες
πολλὴν πραῖδαν ἐξαίφνης ἀνεχώρησαν· ἐλέγετο δὲ ἡ παραλη-
C φθεῖσα ὑπ' αὐτῶν πόλις Μαξιμιανούπολις. ὁ δὲ αὐτὸς βασιλεὺς

5. καὶ μετὰ Ch., κατὰ μετὰ Ox. 11. Ἰάμβλικος Ox. 20. Ὀσδροΐνην Ox. 23. οἱ Ox.

rio, purpura, regioque ornatu omni exuebat sese; habitumque Alytarchae gestans, peractis Olympicorum diebus, non amplius imperatorio fungi munere dignatus est: sed Romam reversus, regno sese abdicavit, privatam deinceps vitam agens. Non longe autem post, annum agens LVII, fatis concessit.

Imperium a Maximiano positum suscepit Maxentius, qui et Galerius: regnavitque annos III. Erat vero curtus, corpore lato, crispus, candidus, barbatus, substrabus, simus, iracundus: Factioni autem Venetae studebat.

Hujus sub imperio floruit Jamblichus Philosophus; qui in Daphne vitam suam transegit.

Eodem tempore Persae, junctis cum Armenia viribus, Romanas ditiones invaserunt, easque depraedarunt. Maxentius itaque, per Armeniam iter ducens, Persas bello petit; quibus debellatis, regiones etiam ibi Persarmeniis abreptas, Romano addidit Imperio; quas in Armeniam primam et secundam Romanorum distribuit. Interim vero, dum Persarmeniae Maxentius commorabatur, Persae Osdroinam invadentes, urbem ibi captam, et incendiis vastatam, funditus everterunt: spoliisque ingentibus onusti, absque mora recesserunt: Nomen autem urbi ab eis captae, Maximianopolis. Urbem hanc Imperator Maxentius, moenibus excitatis, de integro

Μαξέντιος ἀνήγειρεν αὐτὴν κτίσας καὶ τὰ τείχη, καὶ πολλὰ φιλο- O 415
τιμησάμενος τοῖς ζήσασιν ἐκούφισεν αὐτοὺς τῆς συντελείας ἐπὶ
ἔτη γ'. καὶ ἐπανελθὼν ἐν τῇ Ῥώμῃ ἀνῃρέθη, ὢν ἐνιαυτῶν νγ'.

Μετὰ δὲ τὴν βασιλείαν Μαξεντίου ἐβασίλευσε Κωνστάντιος
ὁ Χλωρὸς ἔτη ιγ'. ἦν δὲ μακρός, λεπτός, μιξοπόλιος, εὔχροος
τὸ σῶμα καὶ τοὺς ὀφθαλμούς, εὔρινος, σπανός, ἥσυχος, με-
γαλόψυχος.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἔπαθεν ὑπὸ θεομηνίας Σαλαμιὰς
πόλις τῆς Κύπρου, ὑπὸ σεισμοῦ καταποντισθεῖσα εἰς τὴν θά-
λασσαν τὸ πολὺ αὐτῆς μέρος· τὸ δὲ λοιπὸν ἕως ἐδάφους ἔπεσεν.
ἥντινα ἀνεγείρας ὁ αὐτὸς Κωνστάντιος καὶ πολλὰ πάνυ φιλοτιμη- D
σάμενος καὶ κτίσας καὶ τοῖς ζήσασι πολίταις συγχωρήσας συντε-
λείας ἐπὶ ἔτη τέσσαρα, καὶ κτίσας διαφόροις κτίσμασι τὴν πρώην
μὲν λεγομένην Σαλαμιάδα, ἐξ ἐκείνου δὲ μετακληθεῖσαν Κων-
σταντίαν· ἥτις ἐστὶ νῦν μητρόπολις τῆς Κύπρου.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἀπέστειλε Μάξιμον τὸν καὶ Λικι- O 416
νιανὸν μετὰ πολλοῦ στρατοῦ ἐπὶ τὸ φυλάττειν τὰ μέρη τῆς ἀνα-
τολῆς διὰ τοὺς Πέρσας καὶ τὰς ἐπιδρομὰς τῶν Σαρακηνῶν· ἐτά-
ρασσον γὰρ πρώην τὴν ἀνατολὴν ἕως Αἰγύπτου. συνέβη δὲ ἐν
αὐτῷ τῷ χρόνῳ τὸν βασιλέα Κωνστάντιον ἀῤῥωστήσαντα ἡμέρας
μ' τελευτῆσαι· ἦν δὲ ἐνιαυτῶν ἑξήκοντα. E

Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίου ἀνηγόρευσεν ὁ στρατὸς

16. καὶ Λικινιανὸν Ch., Καλλικιανὸν Ox.

instauravit; civesque superstites multis donavit, tributis etiam illis in triennium remissis. Romam deinde reversus, e medio sublatus est, aetatis anno LIII.

Maxentium excepit Constantius Chlorus; qui imperavit annos XIII. Erat hic procerus, gracilis, subcanus, colore corporis oculorumque pulchro, naso eleganti, parcus, quietus, magnanimis.

Hujus sub imperio, Salamias, urbs Cypri, divinam iram passa est: maxima enim ejus pars terraemotu in mare disjuncta est: reliquum vero urbis solo adaequatum corruit. Hanc itaque Constantius excitavit, et pecuniarum plurimum civibus superstitibus largitus, tributa etiam illis in quadriennium remisit. Urbem vero hanc, quae antea Salamias vocata fuit, variis aedificiis a se ornatam, Constantiam, a suo nomine nuncupari voluit: quae etiam Cypri metropolis est, in hunc usque diem.

Eodem imperante missus est, ingenti cum exercitu, Maximus Licinianus, ad Partes Orientales vindicandas ab incursionibus Persarum et Saracenorum, qui antehac Orientem, ad Aegyptum usque perturbaverant. Accidit autem eodem tempore Imperatorem Constantium in morbum incidere; ex quo, quadragesimo post die, interiit; aetatis anno sexagesimo.

Constantio fatis defuncto, Maximus Licinianus ab exercitu in Oriente

ἐν τῇ ἀνατολῇ Μάξιμον Λικινιανὸν αὐτοκράτορα. καὶ ἐάσας
ἐν αὐτῇ τῇ ἀνατολῇ Φεστιανὸν ἔξαρχον μετὰ βοηθείας εἰς τὸ
φυλάττειν τὴν ἀνατολὴν ἀπῆλθεν ἐν Ῥώμῃ. ἐν τῷ δὲ μέλλειν
αὐτὸν ἐξιέναι ἀπὸ Ἀντιοχείας ἐθεώρησεν ἱπποδρόμιον· καὶ ὕβρι-
V 185 *σαν αὐτὸν οἱ δῆμοι τῆς πόλεως, ὅτι οὐδὲν ἐφιλοτιμήσατο τῇ πό-*
λει ἐκεῖ ἀναγορευθεὶς βασιλεύς. καὶ ἀγανακτήσας ἐκέλευσεν ἄρ-
O 417 *μα κατ' αὐτῶν ἐξελθεῖν· καὶ ἐτόξευσαν αὐτοὺς οἱ στρατιῶται ἐν*
τῷ ἱπποδρομίῳ, καὶ ἀπώλοντο χιλιάδες δύο. ὁ δὲ αὐτὸς βασι-
λεὺς Μάξιμος ἐλθὼν ἐν τῇ Ῥώμῃ ἐβασίλευσεν ἔτη ζʹ. ἦν δὲ εὔ-
στηθος, μελάνθριξ, εὔθετος, δασυπώγων, εὐόφθαλμος, καμ-
πυλόρινος, φιλοστρατιώτης, ὀργίλος, τρακταϊστής.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἐχαρίσατο ἐλευθερίαν τοῖς χριστια-
νοῖς εἰς τὸ μὴ κρύπτεσθαι αὐτοὺς ἀλλὰ δημοσιεύειν. συνέβη
δὲ ἐν τῷ χρόνῳ τῆς αὐτοῦ βασιλείας ἐν Ἡλιουπόλει τῆς Φοινίκης
B *μαρτυρῆσαι τὸν ἅγιον Γελάσινον· ἦν γὰρ μῖμος δεύτερος καὶ*
εἰσῆλθεν εἰς τὸ παιγνίδιον πανδήμου ἀγομένου. καὶ πλήθους
θεωροῦντος ἔβαλον αὐτὸν εἰς βοῦττιν μεγάλην βαλανείου γέμου-
σαν ὕδατος χλιαροῦ, καταγελῶντες τοῦ χριστιανικοῦ δόγματος
καὶ τοῦ ἁγίου βαπτίσματος. ὁ δὲ αὐτὸς Γελάσινος ὁ μῖμος βα-
O 418 *πτισθεὶς καὶ ἀνελθὼν ἐκ τοῦ βοττίου καὶ φορέσας ἱμάτια λευκὰ*
οὐκέτι ἠνέσχετο θεατρίσαι, λέγων ἐπὶ τοῦ δήμου ὅτι Χριστιανός
εἰμι· εἶδον γὰρ δύναμιν θεοῦ φοβερὰν ἐν τῷ βαπτίζεσθαί με ἐν

1. *αὐτοκράτωρα* pro *αὐτοκράτορα* scribit Ch. Sed ita iam Ox. *ibid.* *ἐκάσας* Ox. 19. *Γαλάσινος* Ox.

Imperator salutatus est. Phestiano itaque Exarcho, ibi cum copiis relicto, qui Orientem custodiret, ipse Romam proficiscitur. Antequam vero ex Antiochia discederet, Circensia spectare voluit: ubi populus Antiochensis dicteriis eum lacessebant, quod urbem nullis Largitionibus donasset, cum tamen ibidem Imperator primum renunciatus fuisset. Imperator itaque super his indignatus, milites armatos adversus eos exire jussit: populum itaque sagittis in Circo petebant, millibus duobus excidio datis. Maximus autem Imperator, Romam veniens, ibidem imperavit annos VII. Erat hic pectore firmo, capillitio nigro, membris compositis, barba hirsuta, oculis pulchris, naso adunco, militum studiosus, iracundus, negotiis tractandis idoneus.

Sub hoc Imperatore, Christianis indultum est, uti non amplius latitantes, in publicum prodirent. Contigit autem Hujus sub imperio martyrium subire S. Gelasinum, Heliopoli Phoenicum. Erat hic mimus secundi ordinis; qui, spectante populo universo, Theatrum ingressus, in solum Balnei magnum, aquis tepentibus plenum, injectus est; nempe Christianae religionis, et sancti Baptismatis in Ludibrium. Gelasinus autem iste Mimus, ubi baptizatus ex labro, vestibus albis indutus, egrederetur; Mimum agere amplius detrectavit; populumque allocutus universum, *Ego*, inquit, *Christianus sum; vidi enim in Lavacro tremendam Dei Majesta-*

τῷ βουττίῳ καὶ χριστιανὸς ἀποθνήσκω. καὶ ἀκούσας ταῦτα ὁ δῆμος ὅλος ὁ θεωρῶν ἐν τῷ θεάτρῳ τῆς πόλεως ἐμάνη σφόδρα· καὶ ὁρμήσαντες ἐκ τῶν βάθρων εἰς τὴν θυμέλην ἐκράτησαν αὐτὸν C καὶ σύραντες αὐτὸν ἔξω τοῦ θεάτρου, ὡς φορεῖ τὰ λευκὰ ἱμάτια αὐτοῦ, λιθοβολήσαντες ἐφόνευσαν αὐτόν, καὶ οὕτως ἐτελειώθη ὁ δίκαιος. καὶ λαβόντες τὸ λείψανον αὐτοῦ ἀπήγαγον αὐτὸ εἰς τὴν κώμην τὴν λεγομένην Μαριάμμην, ὅθεν ὑπῆρχεν, ἔξω οὖσαν Δαμασκοῦ τῆς πόλεως ἀπὸ ἑνὸς ἡμίσεος μιλίου. καὶ ἐκτίσθη αὐτῷ εὐκτήριος οἶκος.

Ὁ δὲ βασιλεὺς Λικιννιανὸς Μάξιμος χειρουργηθεὶς τελευτᾷ, ὢν ἐνιαυτῶν μς'.

5. λιθοβολήσαντες Ch., Chron. Pasch. p. 276. A., λιθοβολίσαντες Ox. 8. ἑνὸς ἡμίσεος] I. e. 1½.

tem; et Christianus moriar. Haec ubi audierat omnis qui in Theatro spectabat populus, furore summo commotus est: confestim itaque omnes ex gradibus in scenam irruentes, comprehensum Gelasinum et Theatro extractum, in albo quem ferebat amictu, lapidibus obrutum interfecerunt. Atque hic justi viri exitus fuit. Reliquias vero ejus, qui genere ei conjuncti erant, in vicum unde ipse oriundus erat, Mariammen dictum, milliarii dimidia parte a Damasco urbe remotum, deportarunt. Huic etiam Oratoriam domum extruxerunt.

Imperator autem Maximus Licinnianus, a Chirurgorum sectionibus interiit, annos natus XLVI.

O vol. II. 1
V vol. II. 8

ΛΟΓΟΣ ΙΓ'

ΧΡΟΝΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΒΑΣΙΛΕΩΣ.

A Μετὰ δὲ τὴν βασιλείαν Μαξίμου Λικιννίου ἐβασίλευσεν ὁ θειό-
τατος καὶ πιστότατος, ὁ υἱὸς Κωνσταντίου τοῦ Χλωροῦ, Κων-
σταντῖνος ὁ μέγας τῇ πρὸ ὀκτὼ καλανδῶν αὐγούστων ἐπὶ τῆς
ὑπατείας Σεβήρου καὶ Μαξιμιανοῦ· καὶ ἔμεινε βασιλεύων ἔτη λβ'.
ἦν δὲ μακρός, πυῤῥός, μεγαλόψυχος, ἥσυχος, θεοφιλής.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας αὐτοῦ πόλεμος ἐγένετο ἐν
τῇ δύσει μέγας· καὶ ἐξῆλθε κατ' αὐτῶν ὁ θειότατος Κωνσταντῖ-
νος, καὶ ἡττηθεὶς ἐφοσσεύετο ὑπὸ τῶν βαρβάρων. καὶ θλιβόμε-
O 2 νος ἐν τῷ μέλλειν αὐτὸν καθεύδειν ηὔχετο ῥυσθῆναι ἀπ' αὐτῶν·
B καὶ ἑλκυσθεὶς εἰς ὕπνον εἶδε κατ' ὄναρ ἐν τῷ οὐρανῷ σταυρόν,
ἐν ᾧ ἐπεγέγραπτο, Ἐν τούτῳ νίκα. καὶ ἀναγνοὺς τὸ ἐπιγεγραμ-
μένον ἐν τῷ σταυρῷ διυπνίσθη· καὶ ἀναστὰς ἐποίησε σίγνον

5. πυῤῥός Ch., πυρός Ox.

LIBER XIII.

DE TEMPORIBUS CONSTANTINI IMPERATORIS.

Maximum Licinnium excepit in Imperio Constantinus Magnus, Constantii Chlori F. Imperator Fidelissimus et pientissimus: qui regnare coepit VIII Kal. Augusti, Severo et Maximiano Coss. et regnavit annos XXXII. Erat autem procerus, rufus, magnanimus, ingenii sedati et Deo charus.

Hujus sub Imperio, bellum grave in Occidente exortum est; ad quod reprimendum divinissimus Constantinus cum exercitu profectus est: caeterum devictus Imperator, a Barbaris undique cingebatur. His itaque positus angustiis, ad somnum decubiturus, a Deo precibus expetivit his malis liberari. Somno deinde correptus, per quietem vidit Crucem in Coelo, cui inscriptum erat: *In Hoc vince.* Perlecta autem Inscriptione, e somno expergefactus est. Surgens itaque et effecta Crucis, quam in Coelo vi-

σταυροῦ, ὡς εἶδεν ἐν τῷ οὐρανῷ, καὶ προηγεῖτο αὐτοῦ. καὶ προτρεψάμενος τὸν ἴδιον στρατόν, λέγων ὅτι Νικῶμεν, καὶ ὁρμήσας καὶ συμβαλὼν τοῖς βαρβάροις, ἐνίκησε τὸν πόλεμον κατὰ κράτος, ὥστε μηδένα τῶν βαρβάρων σωθῆναι ἀλλὰ πάντας ἀπολέσθαι. καὶ ἐπανῆλθεν ἐν τῇ Ῥώμῃ μετὰ νίκης καὶ χαρᾶς μεγάλης, ἔχων ἔμπροσθεν αὐτοῦ τὸν σίγνον τοῦ σταυροῦ. ἐξηγεῖτο δὲ πᾶσι τὴν τοῦ ὁράματος καὶ τοῦ σίγνου τοῦ σταυροῦ δύναμιν, λέγων ὅτι Τοῦτο τὸ σημεῖόν ἐστι τοῦ θεοῦ τῶν Γαλιλαίων τῶν λεγομένων χριστιανῶν. καὶ εὐθέως τὰ ἱερὰ καὶ πάντας τοὺς ναοὺς τῶν Ἑλλήνων κατέστρεψε καὶ τὰς ἐκκλησίας τῶν χριστιανῶν ἀνέῳξε, C
πανταχοῦ σάκρας καταπέμψας ὥστε τὰς ἐκκλησίας τῶν χριστιανῶν ἀνοιχθῆναι. καὶ νηστεύσας καὶ κατηχηθεὶς ἐβαπτίσθη ὑπὸ Σιλβέστρου, ἐπισκόπου Ῥώμης, αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ Ἑλένη καὶ πάντες οἱ συγγενεῖς αὐτοῦ καὶ οἱ φίλοι αὐτοῦ καὶ πλῆθος ἄλλων πολλῶν Ῥωμαίων. καὶ ἐγένετο χριστιανὸς ὁ αὐτὸς Κωνσταντῖνος βασιλεύς.

Καὶ ἐπεστράτευσε κατὰ Περσῶν καὶ ἐνίκησεν καὶ ἐποίησε πάκτα εἰρήνης μετὰ Σαραβάρου, βασιλέως Περσῶν, τοῦ Πέρσου αἰ- O 3
τήσαντος εἰρήνην ἔχειν μετὰ Ῥωμαίων. ὁ δὲ αὐτὸς Κωνσταντῖ-

18. Σαραβάρου] „Constantinus adversus Parthos, ut Eutropius, vel Persas, ut Hieronymus, qui jam Mesopotamiam fatigabant, ultimo vitae anno bellum moliens, Achyrone, Nicomediae suburbio, fatis concessit. Quo tempore Sapor, sive Sapores, Persarum erat Rex: qui etiam, anno sequente, Nisibim obsedit, vastata Mesopotamia. Sed et Cedrenus testatur, anno XXI. Constantini Imp. pacem inter Saporem, Persarum regem, et Romanos ruptam fuisse. Itaque pro Σαραβάρου hoc loco legendum Σαπώρου.“ Ch. Σαραβάρου alia forma videtur eius quod est p. 7. B et 9. C Σαβουραρσάκης, nisi id ipsum restituendum est.

dit, effigie; eam in pugnam praeferri jussit: simul etiam exercitui sui addens animos, victoriam eis pollicitus est. Tum vero egressus, praelioque cum Barbaris commisso, illos eo usque profligavit, ut ad unum omnes perierint. Victor deinde Romam repetit cum Triumpho magno, Crucis signum praelatum habens: cujus quoque vim, simul et Visionem suam omnibus aperuit; testatus, *Hoc signum esse Dei Galilaeorum qui Christiani vocantur*. Absque mora igitur Gentilium Templa atque fana funditus evertit: missisque ubique per Imperium Literis suis Imperatoriis, Christianorum Ecclesias aperiri jussit. Tum vero, ubi jejunasset, et rudimentis Christianae Religionis imbutus fuisset, baptizatus est ipse, cum matre Helena, a Silvestro Episcopo Romano: baptizati etiam sunt propinqui ejus omnes et amici; Romanorumque insuper aliorum multitudo ingens. Sic itaque Imperator Constantinus Christianus factus est.

Posthaec vero contra Persas arma movens, bello superior evasit; datis etiam Persis pacis conditionibus, flagitante hoc ab eo Sarabaro, Persarum rege. Idem Constantinus Imperator Euphratesiam a Syria et

νος βασιλεὺς καὶ τὴν Εὐφρατησίαν ἐποίησεν ἐπαρχίαν, ἀπὸ Συ- [D] ρίας καὶ Ὀσροηνῆς μερίσας καὶ δοὺς δίκαιον μητροπόλεως ἐν Ἱεραπόλει. καὶ ὑποστρέψας ἦλθεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ· καὶ ἔκτισεν ἐκεῖ τὴν μεγάλην ἐκκλησίαν, μέγιστον κτίσμα, λύσας τὸ λεγόμενον Φιλίππου βασιλέως δημόσιον· λουτρὸν γὰρ παλαιὸν ἦν καὶ [V 4] τῷ χρόνῳ φθαρὲν καὶ μὴ λοῦον. ἔκτισε δὲ καὶ ξενῶνα πλησίον· ὁμοίως δὲ ἔκτισε καὶ τὴν λεγομένην Ῥουφίνου βασιλικήν· ἦν γὰρ τοῦτο ἱερὸν τοῦ Ἑρμοῦ καὶ ἔλυσεν αὐτὸ Ῥουφῖνος ὁ ἔπαρχος τῶν ἱερῶν πραιτωρίων. ἀπελθὼν δὲ μετὰ τοῦ βασιλέως ἐν τῷ πολέμῳ ἐκελεύσθη ὑπ' αὐτοῦ περιμεῖναι ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ· καὶ ἐπλήρωσε τὴν αὐτὴν βασιλικήν, ἐπανερχομένου τοῦ αὐτοῦ βασιλέως ἐπὶ Ῥώμην. ἐν τῷ δὲ μέλλειν ἐξέρχεσθαι τὸν βασιλέα Κωνσταντῖνον ἀπὸ τῆς αὐτῆς Ἀντιοχείας, ἐποίησε πρῶτος αὐτὸς ἄρχοντα Ἀντιοχείας τῆς Συρίας Πλούταρχον ὀνόματι χριστιανόν· ὅστις καὶ εἰς τὸ κτίσμα τῆς ἐκκλησίας καὶ τῆς βασιλικῆς ἐκελεύσθη ἐργοδιωκτεῖν. ὁ δὲ αὐτὸς Πλούταρχος ἐν τῷ κτίζειν τὸν ξε- [B] νῶνα εὑρηκὼς τὸ χαλκούργημα τοῦ Ποσειδῶνος τὸ ἑστὼς τετελε- [O 4] σμένον ἕνεκεν τοῦ μὴ πάσχειν σειομένην τὴν πόλιν, ἐπάρας τοῦτο ἐχώνευσε καὶ ἐποίησεν αὐτὸ στήλην τῷ αὐτῷ Κωνσταντίνῳ τῷ βασιλεῖ, στήσας αὐτὴν ἔξω τοῦ πραιτωρίου αὐτοῦ, γράψας ὑποκάτω αὐτῆς, Βόνω Κωνσταντίνω. ἥτις στήλη χαλκῆ ἵσταται ἕως τῆς νῦν.

Προηγάγετο δὲ ὁ αὐτὸς βασιλεὺς ἐν τῇ αὐτῇ μεγάλῃ πόλει

2. Ὀσροηνῆς] Ὀσροϊνῆς Ox. 21. Βόνῳ Κωνσταντίνῳ Ox.

Osdroëna sejungens, Provinciam fecit; jure etiam Metropolitico Hierapoli concesso. In reditu vero Antiochiam veniens, Ecclesiam Magnam, opus plane magnificum, ibidem condidit, dissoluto Philippi regis Balneo Publico: quod, pervetustum cum esset et tempore collapsum, inutile prorsus fuit. Prope Ecclesiam quoque Hospitium extruxit: Rufini etiam Basilicam condidit. Fuerat haec olim Mercurii fanum; quod Rufinus, Praetoriorum sacrorum Praefectus, demolitus fuerat; eodem in loco incheata ante bellum Basilica; quam postea, a bello redux, Imperatoris jussu, Romam repetentis, Antiochiae relictus, ad exitum perduxit. Constantinus autem Imperator ab Antiochia discedens, Syriae Praefectum Christianum primus constituit, Plutarchum nomine: cujus etiam cura, in Ecclesia et Basilica, extruendis, usus est. Plutarchus vero iste, inter condendum Hospitium, reperta ibidem Neptuni statua aerea, Telesmatice praeparata, adversus terrae motus, ne deinceps ab his urbs pateretur; eam extractam inde refundit, statuamque ex ea effictam, Constantino Imperatori erexit: quam et extra Praetorium suum excitavit, cum hac Inscriptione, *Bono Constantino*. Quae quidem statua ibi usque adhuc visitur.

Idem Imperator Antiochiae Magnae primus Comitem Orientis, qui

τῶν Ἀντιοχέων πρώτοις κόμητα ἀνατολῆς ἐπὶ τῆς ὑπατείας Ἴλλου
καὶ Ἀλβίνου, ποιήσας αὐτῷ πραιτώριον τὸ ἱερὸν τῶν Μουσῶν,
πληροῦντα τὸν τόπον ἐν τῇ ἀνατολῇ τοῦ ἐπάρχου τῶν πραιτω-
ρίων, ὀνόματι Φηλικιανὸν χριστιανόν, χαρισάμενος τῇ αὐτῇ
πόλει τῶν Ἀντιοχέων διὰ θείου αὐτοῦ τύπου δικαιώματα ἀξίας
δευτέρου κομετάτου, τοῦ τπγ´ ἔτους χρηματίζοντος κατὰ τὴν με- C
γάλην τῶν Ἀντιοχέων πόλιν. οὐκ ἦν γὰρ πρώην ἐν τῇ αὐτῇ με-
γάλῃ Ἀντιοχείᾳ κόμης ἀνατολῆς ἐγκάθετος, ἀλλὰ κατὰ πόλεμον
κινούμενον δηληγάτωρ ἐκάθητο ἐν Ἀντιοχείᾳ τῆς Συρίας, καὶ ὅτε
ἐπαύθη ὁ πόλεμος, ἐκουφίζετο ὁ δηληγάτωρ. ὁ δὲ βασιλεὺς Κων-
σταντῖνος ἐξῆλθεν ἀπὸ Ἀντιοχείας, ἐάσας Ῥουφῖνον τὸν ἔπαρχον·
ὅστις Ῥουφῖνος σπουδάσας ἀνεπλήρωσε τὴν βασιλικήν· καὶ διὰ
τοῦτο ἐκλήθη ἡ Ῥουφίνου.

Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος ἔπεμψε τὴν ἑαυτοῦ μητέρα τὴν O 5
κύραν Ἑλένην εἰς Ἱεροσόλυμα εἰς ἀναζήτησιν τοῦ τιμίου σταυ-
ροῦ· ἥτις καὶ εὑροῦσα ἀνήγαγε τὸν αὐτὸν τίμιον σταυρὸν μετὰ
τῶν πέντε ἥλων· καὶ ηὐξήθη ἐξ ἐκείνου τὰ τῶν χριστιανῶν D
πάντα.

Ὁ δὲ αὐτὸς βασιλεὺς καὶ τρίτην Παλαιστίνην ἐποίησεν ἐπαρ-
χίαν. καὶ ἐπὶ τῆς αὐτοῦ βασιλείας ἐνεκαινίσθη τό ποτε Βυζάν-
τιον ἐπὶ τῆς ὑπατείας Γαλλιανοῦ καὶ Συμμάχου, τοῦ αὐτοῦ δὲ
βασιλέως Κωνσταντίνου ποιήσαντος πρόκεσσον ἐπὶ πολὺν χρόνον,
ἀπὸ Ῥώμης ἐλθόντος ἐν τῷ Βυζαντίῳ· ὅστις καὶ τὸ πρώην τεῖ-

4. Φιλικιανὸν Ox., Pollux p. 274. 15. κυρὰν Ox. 20. ἐνεκαι-
νίσθη Ch., ἀνεκαινίσθη Ox. 21. Γαλλιανοῦ] Γαλλικανοῦ Ch.

Praefecti Praetorio locum teneret, constituit Christianum, nomine Felicianum: cui etiam, in Praetorium ei ut esset, Musarum Fanum assignavit. Factum hoc Illo et Albino Coss. Concessis etiam Antiochensibus, divino Imperatoris ex Edicto, Dignitate ac Jure Comitatus Secundi, anno Aerae Antiochenae CCCLXXXIII; cum ante illud tempus Orientis Comes Antiochiae Magnae sedem suam non habuerit: sed moto aliquo bello, Delegatus ibi pro tempore sedebat; quo finito, desiit et ejus Delegatio. Constantinus autem Imperator, Antiochia discedens, Rufinum ibi Praefectum reliquit: qui, sedulo operam suam impendens, Basilicam absolvit. Ob hanc itaque causam, *Rufini Basilica* vocata est.

Idem Constantinus Imperator matrem suam, Dominam Helenam, Hierosolymas misit, ad exquirendam Crucem Venerabilem: quam una cum quinque clavis repertam, Helena inde reportavit. Ex eo tempore res Christianorum melius se indies habuere.

Idem Imperator tertiam quoque Palaestinam Provinciam fecit. Hujus etiam sub Imperio Byzantium instaurata est, Galliano et Symmacho Coss. Cum enim Imperator, processu ad longum tempus suscepto, Byzantium Roma profectus esset; veterem urbis murum, Byzi opus, in-

χος τῆς αὐτῆς πόλεως ἀνενέωσε τοῦ Βύζου καὶ προσθεὶς ἄλλο διά-
στημα πολὺ τῷ τείχει, καὶ συνάψας τῷ παλαιῷ τείχει τῆς αὐτῆς
πόλεως, ἐκέλευσεν αὐτὴν Κωνσταντινούπολιν λέγεσθαι, ἀναπλη-
O 6 ρώσας καὶ τὸ Ἱππικὸν καὶ κοσμήσας αὐτὸ χαλκουργήμασι καὶ πάσῃ
ἀρετῇ, κτίσας ἐν αὐτῷ καὶ κάθισμα θεωρίου βασιλικοῦ καθ'
E ὁμοιότητα τοῦ ἐν Ῥώμῃ ὄντος. ἔκτισε δὲ καὶ παλάτιον μέγα καὶ
εὐπρεπὲς καθ' ὁμοιότητα ὡσαύτως τοῦ Ῥώμης πλησίον τοῦ Ἱππι-
κοῦ, [τὴν ἄνοδον ἀπὸ τοῦ παλατίου εἰς τὸ κάθισμα τοῦ Ἱππικοῦ
διὰ] τοῦ λεγομένου Κοχλίου, κτίσας καὶ φόρον μέγαν καὶ εὐπρε-
πῆ πάνυ, καὶ στήσας ἐν τῷ μέσῳ κίονα ὁλοπόρφυρον ἄξιον θαύ-
ματος, καὶ ἐπάνω τοῦ αὐτοῦ κίονος ἑαυτῷ ἔστησεν ἀνδριάντα,
ἔχοντα ἐν τῇ κεφαλῇ αὐτοῦ ἀκτῖνας ἑπτά· ὅπερ χαλκούργημα
V 5 ἤγαγεν εἰς τὸ Ἴλιον ἑστηκός, πόλιν τῆς Φρυγίας. ὁ δὲ αὐτὸς
Κωνσταντῖνος ἀφελόμενος ἀπὸ Ῥώμης κρύφα τὸ λεγόμενον Παλ-
λάδιον ξόανον, ἔθηκεν αὐτὸ εἰς τὸν ὑπ' αὐτοῦ κτισθέντα φόρον
ὑποκάτω τοῦ κίονος τῆς στήλης αὐτοῦ, ὥς τινες λέγουσι τῶν Βυ-
ζαντίων ὅτι ἐκεῖ κεῖται. τὴν δὲ τύχην τῆς πόλεως τῆς ὑπ' αὐτοῦ
ἀνανεωθείσης καὶ εἰς ὄνομα αὐτοῦ κτισθείσης ποιήσας τῷ θεῷ
θυσίαν ἀναίμακτον ἐκάλεσεν Ἄνθουσαν. ἥτις πόλις ἐκτίσθη ἐξ
ἀρχῆς ὑπὸ Φιδαλίας· καὶ ἐκάλεσε τότε τὴν τύχην αὐτῆς Κη-
ρώην. τὴν δὲ αὐτὴν Φιδαλίαν ἠγάγετο Βύζας ὁ τῆς Θρᾴκης βα-

4. δὲ τὸ Ox., καὶ τὸ Chron. Pasch. p. 284. A. 8. τὴν — διὰ addidi ex Chron. p. 284. B. 9. μέγαν Ch., Chron., μέγα Ox., μέγα καὶ εὐπρεπής Pollux p. 270. 13. ἑστηκός Ch., ἑστηκώς Ox. 20. Φιδαλίας] Scr. Φιδαλείας. V. ad vol. I. p. 125. A. ibid. Κηρώην] Κερόην Chron. p. 265. A. Quod magis mihi probatur. Efficta haec puella videtur ex Κεροέσσῃ, Ius filia, Byzantis matre, apud Hesychium Illustrem p. 62. Or., ubi plura Meursius.

stauravit; muroque alio de novo extructo, et ad murum veterem adjecto, urbem ipsam, Constantinopolim, vocari jussit. Hippodromum quoque instauravit, statuisque aereis, ornatuque omnimodo splendidiorem reddidit: extructa etiam ibi, ad formam ejus quae Romae est, sella Imperatoria, unde Ludos Imperator spectaret. Palatium quoque magnum et speciosum, quale Romae habetur, prope Hippodromum, Cochleum dictum, extruxit: Forum etiam amplum et spectabile, cujus in medio Columnam posuit, Porphyreticam totam penitusque mirandam: cui etiam statuam sibi imposuit, capite septem radiis coronato: quod simulachrum aereum Imperator ex Ilio, ubi olim steterat, urbe Phrygiae, advexit. Idem etiam Constantinus, ablatum clanculum Roma Palladium, quod vocant, in foro a se condito, infra columnam statuae suae collocavit: sicut Byzantini nonnulli asserunt, ipsum ibidem recondi affirmantes. Urbis vero a se instauratae et a nomine suo vocatae Fortunam Anthusam appellari voluit; sacrificium incruentum Deo peragens. Urbis hujus prima fundamina posuit Phidalia; quae urbis Fortunae tunc temporis Ceroen nomen imposuit. Phidaliam hanc Byzas, Thraciae rex, in uxorem duxit, post mor-

σιλεὺς μετὰ τὴν τελευτὴν Βαρβυσίου τοῦ πατρὸς αὐτῆς, τοῦ το- O 7
πάρχου καὶ φύλακος τοῦ αὐτοῦ ἐμπορίου. ὅστις Βαρβύσιος μέλ-
λων τελευτᾶν ἐκέλευσε τὴν Φιδαλίαν ποιῆσαι τεῖχος τῷ τόπῳ ἕως B
θαλάσσης. ὁ δὲ Βύζας εἰς τὸ ἑαυτοῦ ὄνομα καλέσας τὴν χώραν
ἐβασίλευσεν ἐν τῇ αὐτῇ πόλει.

Ἔκτισε δὲ δύο ἐμβόλους ἀπὸ τῆς εἰσόδου τοῦ παλατίου ἕως
τοῦ αὐτοῦ φόρου εὐπρεπεῖς καὶ κεκοσμημένους ἀνδριᾶσι καὶ μαρ-
μάροις διαφόροις, καλέσας τὸν τόπον τῶν ἐμβόλων Ῥηγίαν, κτί-
σας ἐγγὺς καὶ βασιλικὴν καὶ ἔξω μεγάλους κίονας καὶ ἀνδριάντας,
ἥνπερ ἐκάλεσε Σενᾶτον, κατέναντι στήσας τῇ ἰδίᾳ μητρὶ Ἑλένῃ
στήλην Αὐγούστας ἐν πορφυρῷ μικρῷ κίονι, καλέσας τὸν τόπον
Αὐγουστιῶνα. ὁμοίως δὲ ἀνεπλήρωσε καὶ τὸ λεγόμενον Ζεύξιπ-
πον δημόσιον λουτρόν, κοσμήσας κίοσι καὶ μαρμάροις ποικίλοις
καὶ χαλκουργήμασιν· εὗρε γὰρ αὐτὸ ἀπλήρωτον, ἀρχθὲν μὲν C
πρώην ὑπὸ Σεβήρου βασιλέως τὸ αὐτὸ δημόσιον. ἔκτισε δὲ καὶ
τὸ Ἱππικὸν καὶ ἄλλα πολλά· καὶ ὅτε πάντα ἐπλήρωσεν, ἐπετέλε-
σεν ἱππικόν, ἐν πρώτοις θεωρήσας ἐκεῖ καὶ φορέσας τότε ἐν πρώ-
τοις ἐν τῇ ἰδίᾳ αὐτοῦ κορυφῇ διάδημα διὰ μαργαριτῶν καὶ λί-
θων τιμίων, βουλόμενος πληρῶσαι τὴν προφητικὴν φωνὴν τὴν
λέγουσαν „ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου O 8
τιμίου.“ οὐδεὶς γὰρ τῶν πρὸ αὐτοῦ βασιλευσάντων τοιοῦτόν τι
ποτὲ ἐφόρεσε. καὶ ἐπετέλεσεν ἑορτὴν μεγάλην μηνὶ μαΐῳ τῷ καὶ

2. Βαρβύσιος Ch., Βάρβυσος Ox. 9. βασιλικὴν] ἔχουσαν κόγχην addunt Pollux et Chron. Pasch. p. 284. C. 12. Αὐγουστιῶνα] Sic et Cedrenus p. 374. C, D. Αὐγουστεῶνα infra p. 78. D. 19. προφητικὴν] Psalm. XX. 4.

tum Barbysii, patris ejus; qui loci illius Dominus fuit, et Emporii Custos. Hic vero moriturus, Phidaliae in mandatis reliquit, uti muro ad mare perducto locum illum circumdaret. Byzas itaque, loco illo in nomen suum vocato, sedem illic regni posuit.

Porro [Constantinus] ab introitu Palatii, ad Forum usque, Porticus duas extruxit speciosas variis statuis, columnisque marmoreis ornatas: Locum vero hunc *Regiam* vocavit: cui vicinam etiam Basilicam condidit; statuis et columnis ingentibus exterius ornatam: quam et *Senatum* vocavit. Huic ex adverso matris Helenae, Augustae, statuam, columnellae Porphyreticae impositam, collocavit: locum vero hunc *Augustaeum* nominavit. Similiter quoque Balneum Publicum, *Zeuxippum* dictum, a Severo Imperatore inchoatum, ipse ad exitum perduxit; variisque illud columnis statuisque marmoreis aereisque exornavit. Hippodromum quoque extruxit atque alia plurima. Omnibus vero hisce absolutis, Certamina Equestria indixit; quos ipse in Circo suo primus spectavit. Tum primum quoque Coronam, Margaritis et lapillis pretiosis insignitam, Imperator capite gestavit: animo scilicet explendi dictum illud Propheticum: *Imposuisti capiti ejus coronam ex lapide pretioso:* Imperatorum enim prae-

ἀρτεμισίῳ ια', ἔτους κατὰ Ἀντιόχειαν τὴν μεγάλην χρηματίζον-
τος τοη', κελεύσας διὰ θείου αὐτοῦ τύπου τῇ αὐτῇ ἡμέρᾳ ἐπιτε-
D λεῖσθαι τὴν ἑορτὴν τοῦ γενεθλίου τῆς πόλεως αὐτοῦ, καὶ ἀνοί-
γειν τῇ αὐτῇ ια' τοῦ μαΐου μηνὸς τὸ δημόσιον λουτρὸν τὸ Ζεύ-
ξιππον, πλησίον ὂν τοῦ Ἱππικοῦ καὶ τῆς Ῥηγίας καὶ τοῦ παλατίου,
ποιήσας ἑαυτῷ ἄλλην στήλην ξοάνου κεχρυσωμένην, βαστάζου-
σαν τῇ δεξιᾷ αὐτοῦ χειρὶ τὴν τύχην τῆς αὐτῆς πόλεως καὶ αὐτὴν
κεχρυσωμένην, ἣν ἐκάλεσεν Ἄνθουσαν, κελεύσας κατὰ τὴν αὐτὴν
ἡμέραν τοῦ γενεθλιακοῦ ἱππικοῦ εἰσιέναι τὴν αὐτὴν τοῦ ξοάνου
στήλην διριγευομένην ὑπὸ τῶν στρατιωτῶν μετὰ χλαμύδων καὶ
καμπαγίων, πάντων κατεχόντων κηρούς, καὶ περιέρχεσθαι τὸ σχῆ-
μα τὸν ἄνω καμπτὸν καὶ ἔρχεσθαι εἰς τὸ σκάμμα κατέναντι τοῦ
E βασιλικοῦ καθίσματος, καὶ ἐγείρεσθαι τὸν κατὰ καιρὸν βασιλέα
καὶ προσκυνεῖν, ὡς θεωρεῖ τὴν αὐτὴν στήλην Κωνσταντίνου καὶ
τῆς τύχης τῆς πόλεως. καὶ πεφύλακται τοῦτο τὸ ἔθος ἕως τοῦ
νῦν.

O 9 Ὁ δὲ θειότατος Κωνσταντῖνος ἐν τῇ συμπληρώσει τῆς αὐτοῦ
ὑπατείας ἔῤῥιψεν ἐν Κωνσταντινουπόλει χάρισμα τοῖς Βυζαντίοις
καλάμων συντόμια ἄρτων ἡμερησίων διαιωνιζόντων, οὕστινας
ἄρτους ἐκάλεσε παλατίνους διὰ τὸ ἐν τῷ παλατίῳ ῥογεύεσθαι
V 6 τοὺς αὐτοὺς ἄρτους, ἑκάστου ἄρτου ἀφορίσας οἶνον, κρέα καὶ βέ-

8. ἣν ἐκάλεσεν] ἐκάλεσεν Ox. 12. σκάμα Ox., σκάμμα Ch. 19. καλαμῶν Ox., καλαμων Pollux p. 272., καλαμίων fuerat vol. I. p. 123. E. ibid.. συντομία Ox. ibid. διαιωνιζόντων Ch., Pollux, διωνειζόντων Ox. 21. οἶνον, κρέα Ch., οἴνῳ κρέα Pollux, οἶνον, κρέα idem apud Ducangium Gloss. v. βέστιον, οἰνοκρέα Ox. ibid. βεστία Ox.

cedentium nemo talem gestavit. Artemisii vero, sive Maii XI, anno Aerae Antiochenae CCCLXXVIII, Festivitatem celeberrimam agitari jussit: Divino etiam Edicto suo sancivit, uti eodem die Natales Urbis celebrarentur. Zeuxippum quoque, Balneum Publicum, quod propter Circum, Regiam et Palatium situm est, eodem Maii XI aperiri jussit. Fecit autem sibi Imperator statuam quoque aliam inauratam, urbis Fortunam, quam *Anthusam* vocavit, et ipsam quoque inauratam, manu dextra gestantem. Statuam hanc, eodem die Genethliacorum Circensium, introduci jussit a militibus Chlamydes et campagos indutis, et cereos portantibus omnibus. Jussit vero, uti milites isti, Pompam introducentes, superiorem Hippodromi flexum circumeant; cumque ad sedile Imperatoriae sedi oppositum perventum erit, assurgens qui pro tempore Imperator fuerit, visas Fortunae urbis, et Constantini statuas veneretur: qui mos ad hunc usque diem observatur.

Divinissimus etiam Constantinus, in ipso Consulatus sui exitu, congiarium Byzantinis Constantinopoli largitus est; sparsis in populum calamorum tesseris panis Quotidiani perpetui: singulis etiam, praeter panem, carnibus, vino, et vesti assignatis. Panes vero hos *Palatinos* vocavit;

στια, ἀφορίσας πρόσοδον ὑπὲρ αὐτῶν ἐκ τῶν ἰδίων καὶ καλέσας αὐτοὺς πολιτικούς.

Ὁ δὲ αὐτὸς Κωνσταντῖνος ἔμεινε βασιλεύων ἐν Κωνσταντινουπόλει, ἀφελόμενος αὐτὴν ἀπὸ τῆς Εὐρώπης ἐπαρχίας ἀπὸ Ἡρακλείας τῆς μητροπόλεως αὐτῆς, δοὺς αὐτῇ ἀπὸ θεοῦ δίκαιον βασιλείας, προβαλόμενος ἐν αὐτῇ ἔπαρχον πραιτωρίων καὶ ἔπαρχον πόλεως καὶ τοὺς λοιποὺς μεγάλους ἄρχοντας, χριστιανοὺς πάντας ποιήσας. καὶ ἔμεινεν ἐξ ἐκείνου εὐτυχῶς βασιλεύουσα.

Ὁ δὲ αὐτὸς Κωνσταντῖνος βασιλεὺς καὶ τὴν Φρυγίαν Σαλουταρίαν ἐποίησεν ἐπαρχίαν. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἡ σύνο- B
δος ἐγένετο τῶν τιη' ἐπισκόπων κατὰ Ἀρείου περὶ τῆς πίστεως τῶν χριστιανῶν. ἐν αὐτῇ δὲ τῇ συνόδῳ ὑπῆρχε καὶ ὁ ὁσιώτατος ἐπίσκοπος Εὐσέβιος ὁ Παμφίλου ὁ χρονογράφος. O 10

Ἔπαθε δὲ ἐπὶ τῆς βασιλείας τοῦ αὐτοῦ Κωνσταντίνου ὑπὸ θεομηνίας Μαξιμιανούπολις τῆς Ὀσδροηνῆς τὸ δεύτερον αὐτῆς πάθος τὸ μετὰ τὸ ληφθῆναι ὑπὸ τῶν Περσῶν. καὶ ἀνήγειρεν αὐτὴν ὁ αὐτὸς βασιλεὺς Κωνσταντῖνος καὶ τὰ τείχη αὐτῆς· ἦσαν γὰρ πεσόντα· καὶ τοῖς περισωθεῖσι πολλὰ ἐχαρίσατο· καὶ μετεκάλεσεν αὐτὴν εἰς τὸ ἴδιον ὄνομα Κωνσταντῖναν. ἔκτισε δὲ καὶ εἰς τὴν Βιθυνίαν τὴν πρώην οὖσαν κώμην λεγομένην Σουγάν, C
δοὺς αὐτῇ καὶ δίκαιον πόλεως καὶ καλέσας αὐτὴν εἰς ὄνομα τῆς ἰδίας αὐτοῦ μητρὸς Ἑλενούπολιν. καὶ εἰς ὄνομα δὲ τῆς αὐτοῦ μητρὸς ἐκάλεσε καὶ ἐπαρχίαν Ἑλενόποντον.

15. Ὀσδροϊνῆς Ox. 22. Ἑλενούπολιν — Ἑλενόποντον] Simile Νικούπολις vol. I. p. 113. D.

quod ex Palatio darentur; sepositis ex proprio in hoc reditibus. Panes etiam hi *Politici* dicti sunt.

Idem vero Constantinus Imperii sedem Constantinopoli posuit; eamque, cum antea Europae sub ditione esset, et Heracleae Metropoli subjecta, sui juris fecit: concesso ei a Deo jure imperandi: constitutis etiam Urbi et Praetorio Praefectis aliisque primariis Magistratibus, eisque Christianis omnibus. Itaque ex eo tempore urbs illa feliciter imperitavit.

Idem Constantinus Imperator Phrygiam Salutarem Provinciam fecit. Ejusdem sub imperio Synodus CCCXVIII. Episcoporum celebrata est, contra Arium, de rebus ad Christianam fidem pertinentibus: cui interfuit etiam sanctissimus Episcopus Eusebius Pamphili, Chronographus.

Constantino imperante, divinam iram passa est Maximianopolis, Osdroenae urbs, vice secunda, post ipsam a Persis captam. Imperator itaque Constantinus urbem de integro instauravit; moenia quoque collapsa excitavit, et superstitibus incolis plurima largitus est; vocata deinceps urbe, a nomine suo, Constantina. Vicum etiam quendam in Bithynia, nomine Sugam, de novo extructum, civitatis jure donavit, et a matris suae nomine Helenopolim appellavit: cujus etiam a nomine Provinciam quoque ipsam Helenopontum vocavit.

Καὶ ἐν αὐτῷ τῷ χρόνῳ ὁ αὐτὸς βασιλεὺς Κωνσταντῖνος τοὺς ὄντας ἐν Κωνσταντινουπόλει τρεῖς ναοὺς ἐν τῇ πρώην λεγομένῃ ἀκροπόλει τοῦ Ἡλίου καὶ τῆς Ἀρτέμιδος σελήνης καὶ τῆς Ἀφροδίτης ἐκέλευσεν ἀχρηματίστους τοῦ λοιποῦ διαμεῖναι.

Μετὰ δὲ ὀλίγον καιρὸν ἐτελεύτησεν ὁ αὐτὸς βασιλεὺς Κωνσταντῖνος ἐν Νικομηδείᾳ τῆς Βιθυνίας, ὡς ἔστιν ἐν προκένσῳ, ἐν
D προαστείῳ τινὶ λεγομένῳ Ἀχυρῶνι πρὸ ὀλίγου διαστήματος τῆς πόλεως, ἀῤῥωστήσας ἡμέρας ἕξ, πρὸ τοῦ πληρωθῆναι τὸ κτίσμα ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τῆς Συρίας τὸ τῆς μεγάλης ἐκκλησίας τὸ
O 11 μέγιστον καὶ ἓν ὂν τῶν θεαμάτων. τελευτᾷ δὲ ὢν ἐνιαυτῶν ξ´ καὶ μηνῶν γ´, ὡς ταῦτα συνεγράψατο καὶ τοὺς χρόνους πάντας τῶν προγεγραμμένων βασιλέων ὁ σοφώτατος Νεστοριανὸς ὁ χρονογράφος.

E Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίνου τοῦ μεγάλου ηὑρέθη βασιλεὺς ὢν ἐν Ῥώμῃ Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ· ὅντινα ἐν τῇ ζωῇ αὐτοῦ ἐποίησε βασιλέα Ῥώμης ἐπὶ τῆς ὑπατείας Οὔρσου καὶ Πολυβίου.

16. ἐπὶ τῆς ὑπατείας Οὔρσου καὶ Πολυβίου.] „Chr. Alex. habet Οὔρσου καὶ Πολεμίου. Fasti etiam Capitolini hoc anno Ursum et Polemium Coss. exhibent.“ Ch.

Eodem etiam tempore Constantinus Imperator, fana illa tria, quae in eo loco, qui Acropolis olim dicebatur, posita erant, Solis nempe, Dianae, Lunae et Veneris, reditibus exuta deinceps manere jussit.

Non longo autem post tempore Imperator Constantinus, in Nicomediam Bithyniae itinere facto, in morbum incidit; a quo cum per sex dies decubuerat, in ejusdem civitatis suburbio quodam, Achyrone dicto, non procul ab urbe, diem suum obiit, antequam opus illud magnificum, et inter orbis Miracula censendum, Ecclesiae nempe Antiochenae Magnae fabricam ad exitum perduxisset. Mortuus autem est, annos natus LX, cum mensibus tribus: uti haec memoriae prodidit sapientissimus Nestorianus, Chronographus; qui praedictorum quoque Imperatorum res gestas Chronico descripsit.

CONSTANTINUS JUNIOR,

ROM. IMPERATOR.

Post mortuum vero Constantinum, Romae regnum tenuit Constantinus filius; quem pater, dum adhuc ipse in vivis esset, regem ibi constituerat; Urso et Polybio Coss.

Ὁ δὲ αὐτὸς Κωνσταντῖνος βασιλεὺς ὁ μικρὸς ἐβασίλευσεν ἐν τῇ Ῥώμῃ ἔτη ιβʹ. ὅστις μετὰ τελευτὴν τοῦ πατρὸς ἐξῆλθεν εἰς πρόκεσσον καὶ ἐσφάγη ἐν Μοθώνῃ ὑπὸ τῶν ἀνθρώπων τοῦ ἀδελφοῦ αὐτοῦ, ὢν ἐνιαυτῶν κʹ.

Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίνου τοῦ μικροῦ ἐβασίλευ- O 12
σεν ἐν τῇ Ῥώμῃ Κώνστας ὁ ἀδελφὸς αὐτοῦ ἔτη ιςʹ. ὅστις ἀῤῥω- V 7
στήσας ἀπὸ δυσεντερίας ἐτελεύτα, ὢν ἐνιαυτῶν κζʹ.

Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίνου τοῦ μεγάλου ἐβασίλευ- B
σε Κωνσταντινουπόλεως Κωνστάντιος ὁ υἱὸς αὐτοῦ ὁ μικρότερος ἔτη λʹ. ἦν δὲ μεγαλόψυχος, ἐξακιονίτης, ὅ ἐστιν Ἀρειανός. ἐπὶ
δὲ τῆς αὐτοῦ βασιλείας ἐκίνησαν οἱ Πέρσαι, ἤτοι Ἀββουραρσάκιος O 13
ὁ βασιλεύς· καὶ ἐπεστράτευσε κατ' αὐτῶν ποιήσας Καίσαρα Ἰουλιανὸν συγγενέα αὐτοῦ.

Καὶ γενόμενος ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ ἐπλήρωσε τὴν μεγάλην ἐκκλησίαν ἐπιγράψας ταῦτα·

4. αὐτοῦ] αὐτοῦ Ox. 7. δυσεντερίας Ch., δυσσεντερίας Ox.
11. Ἀββουραρσάκιος] Σαββουραρσάκιος Ch.

Hic autem Constantinus Junior per annos XII. Romae regnavit, Patris vero post obitum, dum in Processum exiret, a fratris sui militibus Mothone occisus est, annum agens XX.

C O N S T A N S
ROM. IMPERATOR.

Constantinum Juniorem excepit in regno Romano Constans, frater ejus: qui, cum annos ibi XVI. regnaverat, ex Dysenteria interiit, annos natus XXVII.

C O N S T A N T I U S
IMP. CONSTANTINOPOLITANUS.

Constantino autem Magno succedebat in Imperio Constantinopolitano Constantius, filiorum natu minimus: qui imperavit annos XXX. Erat autem hic vir magni animi, atque *Exocionita*, id est, Arrianus. Hujus sub imperio motus ciebant Persae, ab Abburarsacio rege eorum ducti. Imperator itaque, Juliano cognato suo Caesare creato, in eos arma movit.

Magnam autem Antiochiam veniens, Ecclesiam ibi magnam absolvit cui ista inscripsit.

Χριστῷ Κωνστάντιος ἐπίῤῥαιστον οἶκον ἔτευξεν,
Οὐρανίαις ἀψῖσι πανείκελα, παμφανόωντα,
Κωνσταντίου ἄνακτος ὑποδρήσσοντος ἐφετμαῖς·
C *Γοργόνιος δὲ κόμης θαλαμηπόλον ἔργον ὕφανε.*

καὶ κατελθὼν ἐπὶ τὰ Περσικὰ ἐποίησε πάκτα εἰρήνης μετὰ Περσῶν ἐπὶ φανερὸν χρόνον, πολλῶν πεσόντων ἐξ ἀμφοτέρων ἐν τῇ συμβολῇ. καὶ ὑποστρέψας ἐποίησε τὰ ἐγκαίνια τῆς αὐτῆς μεγάλης ἐκκλησίας ἐν Ἀντιοχείᾳ. καὶ ἐξελθὼν ὁ αὐτὸς Κωνστάντιος ἀπὸ Ἀντιοχείας, ἀνιὼν ἐπὶ Κωνσταντινούπολιν, ἔφθασε τὴν Κιλι-
O 14 *κίαν· καὶ ἔκτισεν ἐκεῖ τὴν γέφυραν τοῦ Πυράμου ποταμοῦ, ἔργον μέγιστον. καὶ εἰσελθὼν ἐν Μαμψουεστίᾳ, πόλει τῆς Κιλικίας, ἀῤῥωστήσας τελευτᾷ ἐκεῖ, ὢν ἐνιαυτῶν μ'.*

D *Μετὰ δὲ τὴν βασιλείαν Κωνσταντίου ἐβασίλευσεν Ἰουλιανὸς ὁ παραβάτης, ὁ πρῴην γενόμενος Καῖσαρ, ὁ συγγενεὺς τοῦ αὐτοῦ Κωνσταντίου, ἐπὶ ὑπατείας Μαρμεντίου καὶ Νεβήτα· ὅστις ἐβασίλευσεν ἔτη β'. ἦν δὲ ἐλλόγιμος· ὅστις ἐκλήθη παραβάτης, διότι*

1. *ἐπίῤῥαιστον*] *ἐπήρατον* Ch. Idem *Κωνσταντῖνος* et *Κωνσταντίνου* suspicatur. 2. *παμφανόωντα* Ch., *πανφρνόεντα* Ox. 3. *ὑποδρήσσοντος* Ch., *ὑποδρήσοντος* Ox. 4. *θαλαμηπόλον* Ch., *θαλάμη πόλον* Ox. 11. *Μαμψουεστίᾳ*] *Μαμψουκρήναις* debebat notante Wesselingio ad Antonin. p. 580. 15. *Μαρμεντίου καὶ Νεβήτα*] „Chr. Alex. habet *Μαμερτίνου καὶ Νεβήττα*; rectius: hoc anno enim Fasti Capitolini Fl. Mamertinum et Fl. Nevittam Coss. habent.“ Ch.

Extruxit sacras Christo Constantius aedes,
Coelo consimiles, summo splendore nitentes:
Sic Constantini regis pia jussa sequutus.
Gorgonio Comiti structurae cura relicta est.

In Persidem deinde profectus est; praelioque cum eis inito, multisque utrinque caesis, induciae ad tempus satis longum factae sunt. Imperator itaque Antiochiam reversus, Magnae Ecclesiae dedicationem celebravit. Hinc vero Constantinopolim profecturus, per Ciliciam iter ducit: ubi Pyrami fluvii pontem, opus magnificum, extruxit. Ab inde vero Mopsuestiam, Ciliciae urbem veniens, ex morbo ibi interiit, annum agens quadragesimum.

JULIANUS

IMPERATOR.

Constantium in imperio excepit Julianus, Apostata, Consanguineus ejus; quem ipse Caesarem antea creaverat; Marmentio et Neveta Coss. et imperavit annos II. Erat hic eloquentia celebris: Apostata autem di-

ἀρνησάμενος τὸ δόγμα τῶν αὐτοῦ προγόνων, τὸ τῶν χριστιανῶν,
γέγονεν Ἕλλην. ἦν δὲ φίλος καὶ ὁμόχρονος Λιβανίου τοῦ περι-
βοήτου σοφιστοῦ Ἀντιοχείας.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐμαρτύρησεν ὁ ἅγιος Δομέ-
τιος. ἐπεστράτευσε γὰρ κατὰ Περσῶν δυνατὴν στρατείαν, καὶ
κατελθὼν κατέλαβεν Ἀντιόχειαν· καὶ ἀνελθὼν ἐν τῷ ὄρει τῷ λε- O 15
γομένῳ Κασίῳ ἐποίησεν ἐκεῖ θυσίαν ἑκατόμβην τῷ Διὶ Κασίῳ·
καὶ κατελθὼν ἐκεῖθεν καὶ ἐλθὼν εἰς Δάφνην ἐποίησε κἀκεῖ θυ-
σίαν τῷ Ἀπόλλωνι. καὶ παρακοιμηθεὶς εἶδεν ἐν ὁράματι παῖδα V 8
ξανθὸν λέγοντα αὐτῷ, Ἐν Ἀσίᾳ δεῖ σε τεθνάναι. εἰσερχόμενος
δὲ ἀπὸ Δάφνης ἐν Ἀντιοχείᾳ ὑπηντήθη ὑπὸ τῶν συγκλητικῶν αὐ-
τοῦ καὶ τῶν ἀξιωματικῶν αὐτοῦ καὶ τοῦ δήμου. καὶ ἔκραξαν αὐ-
τῷ οἱ δημόται Ἀντιοχείας ὑβριστικὰς φωνάς, ὡς χριστιανοὶ θερ-
μοὶ ὄντες, δεδωκότες αὐτῷ. ἐν ταῖς αὐτῶν φωναῖς κληδόνα μὴ
ὑποστρέψαι. ἀπὸ δὲ τῶν πλησίον αὐτοῦ δύο κανδιδᾶτοι χρι-
στιανοί, ὧν τὰ ὀνόματά ἐστι ταῦτα, Ἰουβεντῖνος καὶ Μαξιμιανός,
ἀποσχίσαντες συνέμιξαν τοῖς ὑβρίζουσιν αὐτὸν ὄχλοις, πλέον ἀνε-
γείροντες τὸν δῆμον εἰς ὕβρεις. καὶ ἑωρακὼς αὐτοὺς Ἰουλιανὸς
ὁ βασιλεύς, ἐκέλευσεν αὐτοὺς συσχεθῆναι· καὶ εὐθέως αὐτοὺς
ἀπεκεφάλισεν ἐν Ἀντιοχείᾳ, καὶ ἐτέθησαν τὰ λείψανα αὐτῶν ἐν τῷ B
μαρτυρίῳ τῷ λεγομένῳ Κοιμητηρίῳ· οὕστινας καλοῦσιν οἱ Ἀν-
τιοχεῖς Γεντιλλίους. καὶ ἀγανακτήσας κατὰ τῶν Ἀντιοχέων ἠπεί-
λει αὐτοῖς, λέγων ὑποστρέφειν καὶ τιμωρεῖσθαι αὐτούς, ὡς μὴ

etus est, quod Majorum suorum fide Christiana renunciata, in Paganismum transisset. Amicum autem, et coaevum habuit Libanium, celeberrimum Sophistam Antiochensem.

Hujus sub Imperio S. Domitius martyrium passus est. Julianus enim, copiis ingentibus collectis, in Persas arma movit. Itinere vero per Antiochiam facto, ad Montem Casium profectus est, ubi Jovi Casio Hecatomben fecit: inde in Daphnem descendens, Apollini quoque sacra peregit: ubi cum ad somnum recumberet, per quietem vidit puerulum quendam flavum, qui dicebat ei: *In Asia moriturus es.* Ex Daphne autem Antiochiam adventanti, procedebant ei obviam Primores ejus et Concilarii, cum populo. Populus autem Antiochenus, qui Christianismi zelo fervebat, Imperatorem contumeliosis dicteriis excepit; a Persico etiam bello eum non reversurum ominatus. Inter hos duo etiam erant ex familiaribus ejus, Christianismi Candidati; quorum nomina, Juventinus et Maximianus; qui ex Comitatu Imperatorio discedentes, immiscuerunt sese convicianti populo; multoque magis eos ad opprobria concitarunt. Hos videns Imperator Julianus, absque mora comprehensos capite multavit Antiochiae: ubi etiam reliquiae eorum in Martyrio, quod *Coemeterium* vocant, recondebantur: Hos vero Antiochenses *Gentiles* appellant. Julianus autem Antiochenis infensus, interminatus est illis, dicens se redeun-

ἔχοντας κληδόνα, εἰπὼν περὶ τῶν αὐτῶν Ἀντιοχέων λόγον, δια-
βάλλων αὐτοὺς ὡς τυράννους. καὶ προέθηκε τὸν κατ' αὐτῶν
ῥηθέντα παρ' αὐτοῦ λόγον ἔξω τοῦ παλατίου τῆς αὐτῆς πόλεως
O 16 εἰς τὸ λεγόμενον Τετράπυλον τῶν ἐλεφάντων πλησίον τῆς Ῥηγίας.

Καὶ ἐξελθὼν διὰ τῶν Κυρηστικῶν ἀπῆλθε κατὰ Περσῶν·
παρερχόμενος δὲ διὰ Κύρου τῆς πόλεως ἐν τῇ χώρᾳ εἶδεν ὄχλον
C ἑστῶτα ἐν τῷ σπηλαίῳ τοῦ ἁγίου Δομετίου καὶ ἰώμενον παρ' αὐ-
τοῦ. καὶ ἐρωτᾷ τινας τίς ἐστιν ἐκεῖνος ὁ συναγόμενος ὄχλος; καὶ
ἔμαθεν ὅτι ἐν τῷ σπηλαίῳ τοῦ ὄρους ἐστὶ μοναχὸς καὶ πρὸς αὐτὸν
συνάγεται ὁ ἑστὼς ὄχλος, θέλων ἰαθῆναι καὶ εὐλογηθῆναι παρ'
αὐτοῦ. καὶ ἐδήλωσε τῷ ἁγίῳ Δομετίῳ ὁ βασιλεὺς Ἰουλιανὸς διὰ
ῥεφερενδαρίου χριστιανοῦ ταῦτα· Διὰ τὸ ἀρέσαι τῷ θεῷ σου εἰς
τὸ σπήλαιον εἰσῆλθες· ἀνθρώποις μὴ θέλε ἀρέσκειν, ἀλλὰ ἰδίαζε.
καὶ ἀντεδήλωσεν αὐτῷ ὁ ἅγιος Δομέτιος ὅτι Ὡς τῷ θεῷ ἐκδό-
σαντός μου τὴν ψυχὴν καὶ τὸ σῶμα ἐκ πολλοῦ χρόνου ἐν τῷ σπη-
λαίῳ τούτῳ ἐμαυτὸν ἀπέκλεισα· τὸν δὲ πρός με ἐρχόμενον ὄχλον
ἐν πίστει ἀποδιώκειν οὐ δύναμαι. καὶ ἐκέλευσεν ὁ βασιλεὺς Ἰου-
D λιανὸς ἀναφραγῆναι τὸ σπήλαιον λίθοις μεγάλοις καὶ εἶναι αὐτὸν
τὸν δίκαιον ἔσω. καὶ ἐκ τούτου ἐτελειώθη ὁ ἅγιος Δομέτιος.

O 17 Καὶ κατιὼν ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς κατὰ Σαββουραρσά-
κου, βασιλέως Περσῶν, κατέφθασεν ἐν Ἱεραπόλει· καὶ πέμψας κα-

2. προσέθηκε Ox. 5. Κηρυστικῶν Ox. 12. Διὰ] Εἰ διὰ Chron. Pasch. p. 297. D. 14. τῷ θεῷ Chron., τοῦ θεοῦ Ox.

tem poenas ab illis exacturum, eo quod adversa sibi ominati essent. Quin et Orationem contra Antiochenses condidit; in qua rebellionis eos reos peragit: quam quidem Orationem extra Palatium Antiochenum, ad Elephantorum Tetrapylum, quod prope Regiam est, palam appendi jussit.

O 44 Ὁ δὲ αὐτὸς Θεοδόσιος βασιλεὺς ποιήσας πρόκενσον ἀπιὼν ἐπὶ πόλεμον, ἐν Μιζουλάνῳ ἠῤῥώστησε, καὶ τελευτᾷ ἐκεῖ ἐν Μιζουλάνῳ, ὢν ἐνιαυτῶν ξε᾽· καὶ ἠνέχθη τὸ λείψανον αὐτοῦ ἐν Κωνσταντινουπόλει. ὅτε δὲ ἔμελλε τελευτᾶν Θεοδόσιος, μαθὼν ὅτι εἰς Ῥώμην ἦλθεν ὁ Ἀρκάδιος πρὸς Ὀνώριον τὸν αὐτοῦ ἀδελφὸν ἀῤῥωστήσαντα, ἔγραψεν αὐτῷ ὑποστρέψαι εἰς Κωνσταντινούπολιν
D διὰ τὴν ἀνατολήν. καὶ διατρίψαντος ἐν Ῥώμῃ τοῦ αὐτοῦ βασιλέως Ἀρκαδίου πρὸς τὸν αὐτοῦ ἀδελφὸν βασιλέα Ὀνώριον, ὡσαύτως δὲ καὶ κατὰ τὴν ὁδὸν διασύραντος, ἐν ὅσῳ ἔρχεται ὁ Ἀρκάδιος ἐν Κωνσταντινουπόλει, Γαϊνὰς ἐτυράννησεν ὁ συγκλητικός, θέλων βασιλεῦσαι. καὶ κατέφθασεν ὁ Ἀρκάδιος ἐν Κωνσταντινουπόλει καὶ ἐφόνευσε τὸν τύραννον Γαϊνάν.

O 45 E Μετὰ οὖν τὴν βασιλείαν Θεοδοσίου τοῦ μεγάλου τοῦ Σπανοῦ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Ἀρκάδιος ἐν Κωνσταντινουπόλει ἐλθὼν

7. πόλεως] Immo μητροπόλεως.

dies plurimos; donec exoratus tandem recepit eum, in Festo Theophaniorum; ea tamen conditione, si per *Sacram* Imperatoriam ediceret, ut qualiscunque incideret occasio, quae Imperatorem commotum redderet, Judicum sententiae, non nisi interposito xxx dierum spatio, ratae essent.

Idem Theodosius Galatiam quoque secundam a prima dirimens, Provinciam fecit; Metropolis jure et Praefecto Pessinunti concessis.

Porro Theodosius Imperator, expeditione quadam suscepta, Mediolani in morbum incidens, fato ibi succubuit, annos natus LXV; reliquiis ejus inde Constantinopolim deportatis. Moriens autem Theodosius, Arcadium (quem Romam venisse rescierat, ut Honorium fratrem viseret, tunc temporis ex morbo decumbentem) per literas hortatus est, uti Constantinopolim repetens, Orienti prospiceret. Arcadio autem Romae cum fratre Honorio longius commorante; quin et per viam quoque moras trahente, citius Constantinopolim attingere non potuit, quam Gainas quidam ex Senatoribus imperium invasisset. Tandem vero Arcadius, Constantinopolim veniens, Gainam istum rebellem e medio sustulit.

ARCADIUS
IMPERATOR.

Magnum itaque Theodosium Hispanum excepit in Imperio filius ejus Arcadius, Roma Constantinopolim veniens: ubi regnavit annos XXIII, Ho-

ἀπὸ Ῥώμης τὰ πάντα ἔτη εἰκοσιτρία, ἐάσας ἐν Ῥώμῃ Ὀνώριον τὸν ἀδελφὸν αὐτοῦ τὸν μικρότερον. ἦν δὲ περίγοργος καὶ ἐνδραγής. καὶ εὐθέως ἐλθὼν ἐποίησε βασιλέα τὸν υἱὸν αὐτοῦ Θεοδόσιον τὸν μικρὸν ἐν Κωνσταντινουπόλει.

Ὁ δὲ αὐτὸς Ἀρκάδιος ἐποίησε καὶ ἴδιον ἀριθμόν, οὓς ἐκάλεσεν Ἀρκαδιακούς. ἀῤῥωστήσας δὲ ἐξαίφνης τελευτᾷ, ὢν ἐνιαυτῶν λα'.

Μετὰ δὲ τὴν βασιλείαν Ἀρκαδίου ἐβασίλευσεν ὁ ἀδελφὸς αὐτοῦ V 18 Ὀνώριος ἐν Ῥώμῃ ἔτη λα'. ἦν δὲ ὀργίλος καὶ σώφρων.

Ὁ δὲ αὐτὸς βασιλεὺς ἔκλεισε τὸ ἱερὸν τοῦ Σεράπιδος Ἡλίου O 46 τοῦ ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ταραχῆς γενομένης δημοτικῆς ἐν τῇ Ῥώμῃ μεγάλης, ἀγανακτήσας ἀπῆλθεν εἰς Ῥάβενναν πόλιν· καὶ πέμψας ἤγαγεν Ἀλάριχον στρατηλάτην ἀπὸ τῶν Γαλλιῶν μετὰ πλήθους, ἵνα πραιδεύσῃ τὴν Ῥώμην. καὶ ἐλθὼν ὁ Ἀλάριχος ἐν τῇ πόλει παρέθετο αὐτὸν τῇ πόλει καὶ τοῖς συγκλητικοῖς τοῖς ἐχθροῖς Ὀνωρίου, καί τινα τῶν τῆς πόλεως οὐκ ἔβλαψεν, ἀλλὰ ὁρμήσας εἰς τὸ παλάτιον ἐπῆρε πάντα τὰ τοῦ παλατίου χρήματα B καὶ τὴν ἀδελφὴν Ὀνωρίου ἀπὸ πατρὸς Πλακιδίαν, μικρὰν οὖσαν

14. Γαλλίων Ch., Γαλίων Ox. Scripsi Γαλλιῶν et mox Γαλλίας, ut p. 30. A. 16. αὐτὸν Ox.

norio fratre suo natu minore Romae relicto. Erat autem [Arcadius] vir ingenii acerrimi, et rebus agendis idoneus: qui quamprimum Constantinopolim reversus fuerat, filium suum, Theodosium juniorem, imperii socium sibi accepit.

Idem Arcadius agmen quoque proprium instituit; quod et *Arcadiacum* vocavit. In morbum vero incidens, subito mortuus est, aetatis anno XXXI.

HONORIUS
IMPERATOR.

Post Arcadium mortuum Romae imperavit Honorius annos XXXI. Iracundiae hic deditus erat, sed vir sanae mentis.

Hic fanum Serapidis Solis, quod Alexandriae magnae fuit, occludi jussit.

Romae vero magna seditione coorta, Imperator in Ravennam urbem indignabundus secessit; accersito ex Gallia Alaricho Duce, cum copiis ejus, ad Romam depraedandam. Alarichus autem Romam veniens, civibus et Senatoribus, Honorii hostibus, sese adjunxit; et omnino nihil in Romanos hostile perpetrans, Imperatoris ipsius in Palatium irrumpit; universoque Thesauro Regio, Imperatoris etiam a Patre sorore, Placidia,

παρθένον· καὶ πάλιν ἀπῆλθεν αὐτὸς εἰς τὰς Γαλλίας τυραννήσας. Κωνστάντιος δὲ ἐκ κόμης ὢν μετὰ Ἀλαρίχου, πιστευθεὶς παρ' αὐτοῦ τὴν κόρην Πλακιδίαν, δυνηθεὶς ἔλαβεν αὐτήν· καὶ φυγὼν τὸν Ἀλάριχον ἤγαγεν αὐτὴν πρὸς τὸν βασιλέα Ὁνώριον. καὶ εὐχαριστῶν αὐτῷ ὁ Ὁνώριος ἐποίησεν αὐτὸν συγκλητικόν, καὶ O 47 *ἐξέδωκεν αὐτῷ τὴν Πλακιδίαν εἰς γυναῖκα, καὶ ἐποίησεν αὐτὸν βασιλέα ἐν Ῥώμῃ· ἐξ ἧς ἔσχεν υἱὸν ὁ αὐτὸς Κωνστάντιος, ὃν ἐκάλεσε Βαλεντινιανόν. καὶ ἅμα Κωνσταντίῳ γενόμενος ὁ Ὁνώριος ἐπὶ τῆς αὐτοῦ βασιλείας ἀνεῖλε τοὺς τέσσαρας τυράννους* C *Ἄτταλον καὶ Σεβαστιανὸν καὶ Μάξιμον καὶ Κώνσταν τοὺς συγκλητικούς, οἵτινες ἀντῆραν αὐτῷ ὑπονοθεύσαντες τὸν δῆμον. μετὰ δὲ τὸ φονευθῆναι αὐτοὺς καὶ τὰς οὐσίας αὐτῶν δημευθῆναι ἐάσας τὸν Κωνστάντιον ἐν τῇ Ῥώμῃ βασιλεύειν ἦλθεν ὁ αὐτὸς Ὁνώριος ἐν Κωνσταντινουπόλει βασιλεύων μετὰ Θεοδοσίου τοῦ μικροῦ.*

Ὁ δὲ Κωνστάντιος, βασιλεὺς Ῥώμης, τελευτᾷ ἰδίῳ θανάτῳ ἐπὶ τῆς βασιλείας καὶ ζωῆς Ὁνωρίου· καὶ τυραννήσας συγκλητικός τις ὀνόματι Ἰωάννης, τῶν ἄλλων συγκλητικῶν συμποιησαμένων μετ' αὐτοῦ, βασιλεύει ἐν τῇ Ῥώμῃ. καὶ γνοὺς τοῦτο ὁ Ὁνώ- O 48 *ριος ἐμάνη· καὶ νόσῳ βληθεὶς ὑδρωπιάσας τελευτᾷ, ὢν ἐνιαυτῶν μβ'.*

20. ὑδροπιάσας Ox., ὑδρωπιάσας Ch.

virguncula, secum abreptis, in Galliam reversus est, tyrannidem usque agitans. Constantius autem quidam Comes, qui Alarichum secutus, Placidiam virginem sibi concreditam habuit; arrepta occasione, Alarichum effugit, eamque Honorio Imperatori reducem dedit. Cujus facti in gratiam, Honorius Constantium ad Senatoriam dignitatem provexit: quin et Placidia ei in uxorem data, in imperii etiam consortium eum admisit. Constantio ex Placidia natus est filius, nomine Valentinianus. Honorius itaque, Constantio in regni societatem adscito, quatuor rebelles illos Senatores, Attalum, Sebastianum, Maximum et Constantem, qui plebem in partes suas allicientes, Imperatori negotium facesserunt, e medio sustulit; bonis eorum publicatis. Honorius autem, imperio Occidentis Constantio tradito, ipse Constantinopolim contendens, Theodosio Juniori sese Imperii socium adjunxit.

Contigit autem, vivente adhuc et regnante Honorio, Constantium Romanum Imperatorem e vivis excedere: post quem, Joannes quidam Senator, tyrannidem arripiens, Senatorum reliquorum ope fretus, Imperium Occidentis invasit. Quo audito, Honorius in furorem actus est; et ex aqua intercute laborans, mortuus est aetatis anno XLII.

ΛΟΓΟΣ ΙΔ' O 49 V 19

ΒΑΣΙΛΕΙΑΣ ΘΕΟΔΟΣΙΟΥ ΝΕΩΤΕΡΟΥ ΕΩΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΛΕΟΝΤΟΣ ΤΟΥ ΜΙΚΡΟΥ.

Μετὰ δὲ τὴν βασιλείαν Ὀνωρίου ἐβασίλευσε μόνος ὁ θειότατος A Θεοδόσιος ὁ νέος, ὁ υἱὸς Ἀρκαδίου βασιλέως, ἀδελφοῦ Ὀνωρίου, ἐπὶ τῆς ὑπατείας Στελίχωνος καὶ Ἀβριλιανοῦ, ὑπὸ τοῦ ἰδίου πατρὸς στεφθείς· ἐβασίλευσε δὲ τὰ πάντα ἔτη. ν' καὶ μῆνας ζ. O 50 ὅστις ἔχαιρε τῷ Πρασίνῳ μέρει καὶ ἀντεποιεῖτο αὐτῶν κατὰ πόλιν. ἐν δὲ Κωνσταντινουπόλει μετήγαγεν αὐτούς, θεωροῦντας πρώην εἰς τὰ δεξιὰ αὐτοῦ μέρη, καὶ ἐποίησεν αὐτοὺς θεωρεῖν εἰς τὰ ἀριστερὰ βάθρα· καὶ τοὺς τῆς πεδατούρας στρατιώτας τοὺς κατέναντι τοῦ καθίσματος θεωροῦντας μετέστησεν ἐπὶ τὸ Βένετον μέρος· καὶ τὰ βάθρα ἔδωκε τοῖς τοῦ Πρασίνου μέρους, ἔχοντα μεσόστυλα ἕξ, εἰρηκὼς τῷ ἐπάρχῳ Κύρῳ ὅτι Οὓς φιλῶ κατέ- B

Inscr. *Λέοντος* Ox. 3. *Ἀβριλιανοῦ* Ox., *Αὐρηλιανοῦ* Chron. p. 306. D.

LIBER XIV.

DE TEMPORIBUS THEODOSII JUNIORIS USQUE AD IMPERIUM LEONIS JUNIORIS.

Post Honorium imperavit solus divinissimus Theodosius Junior; qui a patre Arcadio, Honorii fratre, Imperator renunciatus fuerat, Stilicone et Aureliano Coss. Imperium vero tenuit annos L et menses VII. Factioni hic Prasinae studebat; cujus etiam partes egit ubique per imperium. Constantinopoli vero Prasinos, qui a dextra ejus sedentes antea spectabant Ludos, gradus a sinistra deinceps occupare jussit: militesque Pedaturae, qui ex adverso sellae Imperatoriae spectabant, ad Venetam partem transtulit. Prasinis autem Gradus dedit, sex habentes Mesostylia; Cyro Praefecto subindicans, velle se, quos charos sibi habuit, e regione

ναντί μου θέλω θεωρεῖν. *καὶ ἔκραξαν ἐν Κωνσταντινουπόλει οἱ ἐκ τοῦ Πρασίνου μέρους τῷ αὐτῷ βασιλεῖ, Τὰ ἴδια τοῖς ἰδίοις. καὶ ἔπεμψεν αὐτοῖς μανδᾶτα διὰ τοῦ πρωτοκούρσορος, λέγων ὅτι Ἐγὼ ὡς τιμῶν ὑμᾶς εἰς τὰ ἀριστερὰ τοῦ καθίσματος, ἔνθα θεωρῶ, μετέστησα ὑμᾶς· καὶ εὐφήμησαν αὐτόν. καὶ ἐκέλευσε*
O 51 *κατὰ πόλιν εἰς τὰ ἀριστερὰ τῶν ἀρχόντων θεωρεῖν τοὺς Πρασίνους.*

Ἐβασίλευσε δὲ παιδίον· ὅτε δὲ προέκοψε τῇ ἡλικίᾳ ὁ αὐτὸς Θεοδόσιος βασιλεύς, ἀνεγίνωσκεν ἔσω εἰς τὸ παλάτιον ἐν τῇ ζωῇ τοῦ αὐτοῦ πατρὸς Ἀρκαδίου. καὶ μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ συνανεγίνωσκεν αὐτῷ ἄλλος νεώτερος εὐφυέστατος ὀνό-
C *ματι Παυλῖνος, υἱὸς κόμητος δομεστίκων. μετὰ δὲ τὴν τελευτὴν τοῦ αὐτοῦ πατρὸς ἀνδρωθεὶς Θεοδόσιος ὁ βασιλεὺς ἐζήτει λαβεῖν γυναῖκα εἰς γάμον· καὶ ὤχλει τῇ αὐτοῦ ἀδελφῇ Πουλχερίᾳ τῇ δεσποίνῃ, οὔσῃ παρθένῳ, ἥτις ὡς φιλοῦσα τὸν ἴδιον αὐτῆς ἀδελφὸν οὐχ εἵλατο γαμηθῆναί τινι· καὶ δὴ περιεργασαμένη περὶ παρθένων πολλῶν κορασίων, θυγατέρων πατρικίων ἢ ἐξ αἵματος βασιλικοῦ, εἶπεν τῷ αὐτῷ Θεοδοσίῳ βασιλεῖ, ἀδελφῷ αὐτῆς,*
V 20 *συνδιάγουσα αὐτῷ ἐν τῷ παλατίῳ. καὶ εἶπεν αὐτῇ ὁ αὐτὸς βασιλεὺς Θεοδόσιος ὅτι Ἐγὼ θέλω, εἰ εὕρῃς μοι νεωτέραν εὔμορφον πάνυ, ἵνα τοιοῦτον κάλλος μὴ ἔχῃ γυνὴ εἰς Κωνσταντινούπολιν, εἴτε ἐξ αἵματός ἐστι βασιλικοῦ εἴτε ἐξ αἵματός ἐστι συγκλητικοῦ*

16. οὐκ Ox. 18. εἶπεν] εἰπὼν Ox. Male haec contraxit Chron. Pasch. p. 311. A. 20. εὕρῃς] εὕρεις Ox., ἐγὼ θέλω εὑρεῖν male Chron.

sui eos spectare. Tum vero qui Prasinae Factionis erant Constantinopolitani Imperatori inclamabant: *Suum cuique.* Theodosius autem, misso Protocursore eos monuit; se, in honorem eorum, ad sinistram sellae suae, unde spectabat ipse, transtulisse eos. Tum vero faustis acclamationibus eum celebrarunt. Edixit etiam Imperator, ubique per imperium, uti Prasini ad sinistram Praefectorum sedentes, Ludos spectarent.

Imperator autem renunciatus est, dum puer admodum erat: adolescentior autem factus, in Palatio literis imbutus est, patre Arcadio adhuc vivente. Patris autem post obitum, in literis percipiendis socius ei adjunctus est juvenis quidam nobilis, nomine Paulinus, Comitis Domesticorum filius. Theodosius autem Imperator, cum jam in virum adolevisset, uxorem ducere in animo habuit: atque eo nomine Pulcheriam Augustam, sororem suam, saepiuscule interpellaverat; quae virgo licet esset, fratrem suum adeo charum sibi habuit, ut a nuptiis ipsa abstinuerit. Pulcheria itaque inquirendis quaecunque ex Regio, vel Patricio sanguine prognatae essent, virginibus sedulam navans operam, ad Theodosium Imperatorem fratrem suum, qui cum in Palatio convixit, de illis referebat. Cui Theodosius, „Tu modo, inquit, si conciliare mihi possis teneram virginem, formaque talem, qualem Constantinopolis praeterea nullam datura est,

πρώτον. εἰ δὲ μή ἐστι καλὴ εἰς ὑπερβολήν, οὐ χρείαν ἔχω, οὔτε ἀξιωματικὴν οὔτε ἐκ βασιλικοῦ αἵματος οὔτε πλοῦτον, ἀλλὰ O 52 καὶ εἴ τινος δή ποτέ ἐστι θυγάτηρ, μόνον παρθένον καὶ εὐπρεπεστάτην πάνυ, ταύτην λαμβάνω. καὶ ἀκηκοῶσα ταῦτα ἡ δέσποινα Πουλχερία πανταχοῦ ἔπεμψε περιεργαζομένη· καὶ Παυλῖνος δὲ περιέτρεχεν, ἀρέσαι αὐτῷ.

Ἐν δὲ τῷ μεταξὺ συνέβη ἐλθεῖν ἐν Κωνσταντινουπόλει μετὰ B τῶν ἰδίων συγγενῶν κόρην εὐπρεπῆ, ἐλλόγιμον, Ἑλλαδικήν, ὀνόματι Ἀθηναΐδα, τὴν καὶ Εὐδοκίαν μετακληθεῖσαν, θυγατέρα γενομένην Λεοντίου τοῦ φιλοσόφου Ἀθηναίου εὐπορωτάτου· ἥτις Ἀθηναῒς ἡ καὶ Εὐδοκία ἠναγκάσθη καταλαβεῖν τὴν βασιλεύουσαν πόλιν πρὸς τὴν ἰδίαν αὐτῆς θείαν διὰ τὴν αἰτίαν ταύτην. ὁ φιλόσοφος Λεόντιος ὁ αὐτῆς πατὴρ ἔχων υἱοὺς τελείους δύο, μέλλων τελευτᾶν διέθετο, τάξας ἐν τῇ ἑαυτοῦ διαθήκῃ τοὺς δύο αὐτοῦ υἱοὺς κληρονόμους πάσης τῆς ὑπ᾽ αὐτοῦ καταλιμπανομένης περιουσίας Οὐαλέριον καὶ Γέσιον, εἰρηκὼς ἐν τῇ αὐτοῦ διαθήκῃ, Ἀθηναΐδι τῇ ποθεινοτάτῃ μου γνησίᾳ θυγατρὶ δοθῆναι βούλομαι C νομίσματα ἑκατὸν καὶ μόνον· ἀρκεῖ γὰρ αὐτῇ ἡ αὐτῆς τύχη ἡ ὑπερέχουσα πᾶσαν γυναικείαν τύχην. καὶ ἐτελεύτησεν ὁ αὐτὸς O 53 Λεόντιος ὁ φιλόσοφος ἐν Ἀθήναις. μετὰ οὖν τὴν αὐτοῦ ἀποβίωσιν ἐδυσώπει ἡ αὐτὴ Ἀθηναῒς ἡ καὶ Εὐδοκία τοὺς ἰδίους ἀδελφούς, ὡς μείζονας, προσπίπτουσα αὐτοῖς καὶ αἰτοῦσα μὴ προσχεῖν τῇ αὐτῇ διαθήκῃ, ἀλλὰ κατὰ τὸ τρίτον μέρος μερίσασθαι μετ᾽

Regiis illam vel Patriciis claram natalibus, hanc volo. At si forma non sit absolutissima, Regio licet sit, an Patricio prognata sanguine, divesque, non moror ista. Quinimo, quacunque tandem stirpe edita sit, virgo modo sit, omnibusque pulchritudinis palmam praeripiat, illam expeto." His autem Pulcheria, emissis ubique nunciis, hujusmodi virginem sollicite anquisivit. Paulinus etiam, uti ei hac ex parte gratificaretur, undique cursitabat.

Contigit interim Constantinopolim cum cognatis suis advenire Virginem quandam Graecanicam, forma singulari et doctrina praestantem, cui nomen Athenaïs; (quae et postea Eudocia vocata est) Leontii, Philosophi Atheniensis, viri ditissimi filiam. Haec Imperatricem urbem petere, amitae suae visendae gratia coacta est, hac ex causa. Leontius Philosophus, ejus pater, filios duos adultos habuit, Valerium et Gesium. Hos moriturus testamento instituit ex asse haeredes: „Athenaidi autem, (in Testamento scripsit) filiae meae desideratissimae C. Numismata tantum dari volo: sufficit enim illi Fortuna sua, qua universum sexum suum antecellit." Atque ita Leontius Philosophus Athenis decessit: post cujus obitum Athenaïs, quae et Eudocia, fratres suos, utpote natu majores, pedibus illorum provoluta, supplex rogavit, uti Testamenti illius rationem non adeo habentes, Paternae Haereditatis partem tertiam sibi assignarent.

αὐτῶν τὰ πατρῷα, λέγουσα μηδὲν ἡμαρτηκέναι, ὡς καὶ ὑμεῖς οἴδατε, πρὸς τὸν ἴδιον ὑμῶν πατέρα· καὶ οὐκ οἶδα διὰ τί ἄπορόν με κατέλιπε μέλλων τελευτᾶν καὶ εὐπορίας τύχην μετὰ τὴν αὐτοῦ νέκρωσιν ἐχαρίσατο. οἱ δὲ αὐτῆς ἀδελφοὶ ἔμειναν ἀπειθεῖς, καὶ
D ὀργισθέντες ἐδίωξαν αὐτὴν καὶ ἐκ τοῦ πατρῴου αὐτῆς οἴκου, ἔνθα συνέμενεν αὐτοῖς. καὶ ἐδέξατο αὐτὴν ἡ ἀδελφὴ τῆς γενομένης αὐτῆς μητρός, ὡς ὀρφανήν, καὶ ὡς παρθένον ἐφύλαξεν αὐτήν. ἥντινα λαβοῦσα ἀνῆλθεν ἐν Κωνσταντινουπόλει πρὸς τὴν ἄλλην ἀδελφὴν τοῦ αὐτῆς πατρὸς καὶ θείαν αὐτῆς. καὶ λαβοῦσαι αὐ-
O 54 τὴν ποιῆσαι ἀξίωσιν κατὰ τῶν αὐτῆς ἀδελφῶν παρεσκεύασαν αὐτὴν προσελθεῖν τῇ εὐσεβεστάτῃ δεσποίνῃ Πουλχερίᾳ, ἀδελφῇ Θεοδοσίου βασιλέως. καὶ δὴ προσελθοῦσα ἐδίδαξεν ὡς βιαζομένη παρὰ τῶν ἰδίων αὐτῆς ἀδελφῶν, διαλεγομένη ἐλλογίμως. καὶ ἑωρακυῖα αὐτὴν ἡ αὐτὴ Πουλχερία εὐπρεπῆ καὶ ἐλλόγιμον, ἐπηρώ-
E τησε τὰς αὐτῆς θείας εἰ ἐστὶ παρθένος. καὶ ἐδιδάχθη παρ' αὐτῶν ὅτι παρθένος ἐστὶν ἁγνὴ φυλαχθεῖσα ὑπὸ τοῦ αὐτῆς πατρός, φιλοσόφου γεναμένου ἐν Ἑλλάδι, καὶ διὰ λόγων πολλῶν φιλοσοφίας ἀναχθεῖσα. καὶ κελεύσασα αὐτὴν ἅμα ταῖς αὐταῖς θείαις διὰ κουβικουλαρίων φυλαχθῆναι καὶ περιμεῖναι, λαβοῦσα, φησί, τὴν δέησιν παρ' αὐτῆς εἰσῆλθε πρὸς τὸν ἴδιον αὐτῆς ἀδελφὸν τὸν βασιλέα Θεοδόσιον καὶ εἶπεν αὐτῷ ὅτι Ηὗρον νεωτέραν πάνυ
V 21 εὔμορφον, καθαρίαν, εὔστολον, ἐλλόγιμον, Ἑλλαδικήν, παρ-

2. ἴδιον ὑμῶν] κοινὸν ἡμῶν Chron. 3. εὐπορίας τύχην] καὶ εὐπορίας τυχεῖν Chron. 18. κελεύσασα Ch., κελεύσας Ox. ibid. αὐταῖς] αὐτῆς Chron.

„Ego enim, inquit, in communem nostrum Parentem nihil commisi, uti vos probe nostis: nec satis scio, qua tandem causa adductus, moriturus pater, nulla mihi vobiscum concessa Patrimonii sorte, prospera me mea frui Fortuna, post se mortuum juberet.“ At fratres in sententia persti-terunt; iratique etiam ex aedibus paternis, ubi cum eis convixerat, ejecerunt. Itaque accepit illam sibi matertera ejus; atque, ceu parentibus orbam et virginem, tutata est. Constantinopolim deinde adduxit, ad cognatam aliam, virginis amitam patris ejus sororem. Hae vero, causa illius suscepta, ad Pulcheriam Augustam, Theodosii Imperatoris sororem pientissimam, fratres suos [de bonis paternis] postulaturam, adduci curaverunt. Illa vero ad Pulcheriam adducta, oratione disertissima exposuit, quo pacto a fratribus suis injuriose habita fuerit. Videns autem Pulcheria Athenaidem, forma tali et eruditione praeditam, cognatas ejus interrogavit, virgo esset, necne? Dicebant hae, virginem esse intactam, a patre suo Philosopho Graeco custoditam, et Philosophiae praeceptis abunde satis imbutam. Cognatis itaque ejus, una cum virgine, Cubiculariorum sub cura ibidem manere jussis, Pulcheria acceptum ab ea Libellum supplicem ad Theodosium fratrem deferebat; cui etiam dixit: „Inveni tibi virginem Graecanicam, Philosophi cujusdam filiam, teneram et formosis-

θῖνον, θυγατέρα φιλοσόφου. ὁ δὲ ἀκούσας, ὡς νεώτερος, ἀνήφθη· καὶ μεταστειλάμενος τὸν συμπράκτορα αὐτοῦ καὶ φίλον Παυλῖνον ᾔτησε τὴν ἑαυτοῦ ἀδελφὴν ὡς ἐπ' ἄλλῳ τινὶ εἰσαγαγεῖν τὴν Ἀθηναΐδα τὴν καὶ Εὐδοκίαν ἐν τῷ αὐτῆς κουβικλείῳ, ἵνα διὰ τοῦ βήλου θεάσηται αὐτὴν ἅμα Παυλίνῳ. καὶ εἰσήχθη· O 55 καὶ ἑωρακὼς αὐτὴν ἠράσθη αὐτῆς, καὶ Παυλίνου δὲ θαυμάσαντος αὐτήν. καὶ κρατήσας αὐτὴν καὶ χριστιανὴν ποιήσας, ἦν γὰρ Ἕλλην, καὶ μετονομάσας αὐτὴν Εὐδοκίαν, ἔλαβεν αὐτὴν εἰς γυναῖκα, ποιήσας αὐτῇ βασιλικοὺς γάμους. καὶ ἔσχεν ἐξ αὐτῆς θυγατέρα ὀνόματι Εὐδοξίαν.

Ἀκούσαντες δὲ οἱ τῆς Αὐγούστας Εὐδοκίας ἀδελφοὶ ὅτι βασιλεύει, B προσέφυγον ἐν τῇ Ἑλλάδι φοβηθέντες· καὶ πέμψασα ἤνεγκεν αὐτοὺς ἐκ τῆς πόλεως Ἀθηνῶν ὑπὸ λόγον ἐν Κωνσταντινουπόλει, καὶ ἐποίησεν αὐτοὺς ἀξιωματικούς, προαγαγόντος αὐτοὺς τοῦ βασιλέως τὸν μὲν λεγόμενον Γέσιον ἔπαρχον πραιτωρίων τοῦ Ἰλλυριῶν ἔθνους, τὸν δὲ Οὐαλέριον μάγιστρον, εἰρηκυίας αὐτοῖς τῆς αὐτῆς βασιλίσσης Εὐδοκίας, ἀδελφῆς αὐτῶν, ὅτι Εἰ μὴ ὑμεῖς κακῶς ἐχρήσασθέ μοι, οὐκ ἠναγκαζόμην ἐλθεῖν καὶ βασιλεῦσαι. τὴν οὖν ἐκ τῆς γενέσεώς μου βασιλείαν ὑμεῖς μοι ἐχαρίσασθε· ἡ γὰρ ἐμὴ ἀγαθὴ τύχη ἐποίησεν ὑμᾶς ἀτυχεῖς O 56 εἰς ἐμέ, οὐχὶ ἡ ὑμετέρα πρὸς ἐμὲ γνώμη. C

Ὁ δὲ βασιλεὺς Θεοδόσιος καὶ Παυλῖνον, ὡς φίλον αὐτοῦ

11. Immo Αὐγούστης. 16. Ἰλλυρίων Ox. 20. ἀτυχεῖς] ἀπειθεῖς Chron. V. p. antecedentem v. 4.

sinam intactam, egregie ornatam et eruditione praestantem." Quo audito, Imperator, uti Juvenis, exarsit: accersito itaque socio suo et amico Paulino, Pulcheriam sororem rogavit, uti per speciem alicujus negotii, Athenaidem in suum ipsius cubiculum introduceret, unde ipse eam, cum Paulino, per velum spectaret. Introductam itaque virginem, Paulino quidem eam admirante, Imperator anxie deperibat: Christianam itaque eam ubi fecisset, (Pagana enim fuerat) nomine in Eudociam mutato, in uxorem habuit; nuptiis etiam Regiis, illius in honorem, celebratis. Filiam vero ex ea suscepit, nomine Eudoxiam.

At vero fratres Eudociae Imperatricis, ubi sororem suam regnare intellexissent metu perculsi, in Helladem profugerunt: Quo Eudocia, Cautione Indemnitatis data, Constantinopolim ex Athenis accersitos, summos ibi ad honores provexit. Gesium enim Imperator Praefectum Praetorio gentis Illyricae, Valerium vero Magistrum constituit; dicente fratribus suis Eudocia Imperatrice, „Quod nisi vos male me tractassetis, ego non Constantinopolim petere, indeque Imperatrix fieri coacta fuissem. Regnum itaque, quod extra nascendi sortem mihi obtigit, vos dedistis: quod enim votis meis non aequiores stetistis, illud non malo vestro in me animo, sed bonae meae Fortunae acceptum refero."

Imperator autem Theodosius Paulinum, ut amicum, convictorem et

καὶ μεσάσαντα τῷ γάμῳ καὶ συναριστοῦντα αὐτοῖς, ἐποίησε διὰ πάσης ἀξίας ἐλθεῖν· καὶ μετὰ ταῦτα προηγάγετο αὐτὸν μάγιστρον· καὶ ηὐξήθη. ὡς ἔχων δὲ παῤῥησίαν πρὸς τὸν βασιλέα Θεοδόσιον, ὡς παράνυμφος, καὶ πρὸς τὴν Αὔγουσταν Εὐδοκίαν εἰσῄει συχνῶς ὁ αὐτὸς Παυλῖνος, ὡς μάγιστρος.

Ὁ δὲ αὐτὸς Θεοδόσιος βασιλεὺς ἔπεμψεν ἐν τῇ Ῥώμῃ Ἄσπαρα τὸν πατρίκιον μετὰ δυνάμεως πολλῆς στρατοῦ κα-
D τὰ Ἰωάννου τοῦ τυράννου. καὶ ἐνίκησε τὸν αὐτὸν Ἰωάννην ὁ Ἄσπαρ, καὶ ἐξέβαλεν αὐτὸν τῆς βασιλείας Ῥώμης, καὶ ἐφόνευσεν αὐτόν. καὶ ἐποίησεν ὁ βασιλεὺς Θεοδόσιος βασιλέα ἐν τῇ Ῥώμῃ Βαλεντινιανὸν τὸν μικρόν, τὸν υἱὸν Πλακιδίας τῆς μεγάλης καὶ Κωνσταντίου βασιλέως, τὸν ἴδιον αὐτοῦ συγγενέα. καὶ ἐκδίδωσιν αὐτῷ τὴν ἑαυτοῦ θυγατέρα, ἣν εἶχεν ἀπὸ Εὐδοκίας Αὐγούστας, θυγατρὸς τοῦ φιλοσόφου, ὀνόματι Εὐδοξίαν· ἀφ᾽ ἧς ἔσχεν ὁ αὐτὸς Βαλεντινιανὸς θυγατέρας δύο Εὐδοκίαν καὶ Πλακιδίαν.

Συνέβη δὲ μετὰ χρόνον ἐν τῷ προϊέναι τὸν βασιλέα Θεοδόσιον εἰς τὴν ἐκκλησίαν ἐν τοῖς ἁγίοις θεοφανίοις τὸν μάγιστρον
O 57 Παυλῖνον ἀηδισθέντα ἐκ τοῦ ποδὸς ἀπρόϊτον μεῖναι καὶ ἐκ-
E κουσσεῦσαι. προσήνεγκε δὲ τῷ αὐτῷ Θεοδοσίῳ βασιλεῖ πένης τις μῆλον Φρυγιατικὸν παμμέγεθες πολὺ εἰς πᾶσαν ὑπερβολήν. καὶ ἐξενίσθη ὁ βασιλεὺς καὶ πᾶσα ἡ σύγκλητος αὐτοῦ· καὶ εὐθέως ὁ βασιλεύς, δεδωκὼς τῷ προσαγαγόντι τὸ μῆλον νομίσμα-

4. Αὐγούσταν Ox. Sic et p. seq. 21. παμμεγεθὲς Ox.

nuptiarum conciliatorem, per omnes honorum gradus ad dignitates evexit; deinde etiam Magistri dignitate insignivit. Sic honoribus auctus est Paulinus; qui cum plurimum potuerit apud Imperatorem, ut qui Paranymphus ejus fuerit, saepiuscule etiam, ut qui Magister erat, ad Imperatricem Eudociam intromissus est.

Imperator autem Theodosius Asparem quendam, virum Patricium, cum exercitu magno Romam versus emisit, contra Joannem illum rebellem. Hunc itaque Aspar bello superavit, regnoque Romano deturbatum, neci tradidit, Romanus vero Imperater a Theodosio renunciatus est Valentinianus Junior, consanguineus ejus, Constantii Imperatoris et Placidiae magnae filius: cui etiam in uxorem dedit filiam Eudoxiam, quam ex Eudocia Augusta, Philosophi filia susceperat. Ex ea vero filias duas habuit Valentinianus, Eudociam et Placidiam.

Accidit autem post temporis, cum Imperator Theodosius in Sanctis Theophaniis ad Ecclesiam exiret, Paulinum Magistrum domi manere; aeger enim ex pede decumbens, morbum excusavit. Obtulit interim pauper quidam Theodosio pomum Phrygium, praegrande illud et insitatae magnitudinis; Imperatore ipso Proceribusque ejus omnibus magnitudine illius stupescentibus. Imperator autem, datis ei qui obtulerat CL nummis,

τα ἑκατὸν πεντήκοντα, ἔπεμψεν αὐτὸ τῇ Αὐγούστῃ Εὐδοκίᾳ· καὶ ἡ Αὔγουστα ἔπεμψεν αὐτὸ Παυλίνῳ μαγίστρῳ, ὡς φίλῳ τοῦ βα- V 22
σιλέως· ὁ δὲ μάγιστρος Παυλῖνος, ἀγνοῶν ὅτι ὁ βασιλεὺς ἔπεμψεν αὐτὸ τῇ Αὐγούστῃ, λαβὼν ἔπεμψεν αὐτὸ τῷ βασιλεῖ Θεοδοσίῳ, ὡς εἰσέρχεται εἰς τὸ παλάτιον. καὶ δεξάμενος αὐτὸ ὁ βασιλεὺς ἐγνώρισεν αὐτὸ καὶ ἀπέκρυψεν αὐτό· καὶ καλέσας τὴν Αὔγουσταν ἐπηρώτησεν αὐτήν, λέγων, Ποῦ ἐστι τὸ μῆλον ὃ ἔπεμψά σοι; ἡ δὲ εἶπεν ὅτι ἔφαγον αὐτό. καὶ ὥρκωσεν αὐτὴν κατὰ τῆς αὐτοῦ σωτηρίας εἰ ἔφαγεν αὐτὸ ἢ τινι αὐτὸ ἔπεμψε. καὶ ἐπωμόσατο ὅτι Οὐδενὶ αὐτὸ ἔπεμψα, ἀλλ' ὅτι αὐτὴ αὐτὸ ἔφαγε. καὶ ἐκέλευσεν ὁ βασιλεὺς ἐνεχθῆναι τὸ μῆλον, καὶ ἔδειξεν αὐτῇ αὐτό. καὶ ἠγανάκτησε κατ' αὐτῆς, ὑπονοήσας ὅτι ὡς ἐρῶσα τῷ αὐτῷ Παυλίνῳ ἔπεμψεν αὐτῷ τὸ μῆλον καὶ ἠρνήσατο. καὶ διὰ τοῦτο ἀνεῖλε τὸν αὐτὸν Παυλῖνον ὁ βασιλεὺς Θεοδόσιος· καὶ λυπηθεῖσα ἡ Αὔγουστα Εὐδοκία, ὡς ὑβρισθεῖσα, B O 58
ἐγνώσθη γὰρ πανταχοῦ ὅτι δι' αὐτὴν ἐσφάγη ὁ Παυλῖνος· ἦν γὰρ πάνυ εὔμορφος νεώτερος· ᾐτήσατο δὲ ἡ Αὔγουστα τὸν βασιλέα Θεοδόσιον τοῦ κατελθεῖν εἰς τοὺς ἁγίους τόπους εἰς εὐχήν· καὶ παρέσχεν αὐτῇ. καὶ κατῆλθεν ἀπὸ Κωνσταντινουπόλεως ἐπὶ Ἱεροσόλυμα εὔξασθαι· καὶ ἔκτισεν ἐν Ἱεροσολύμοις πολλά, καὶ τὸ τεῖχος ἀνενέωσε τῆς Ἱερουσαλήμ, εἰποῦσα ὅτι Δι' ἐμὲ εἶπε Δαβὶδ ὁ προφήτης ὅτι καὶ ἐν τῇ εὐδοκίᾳ σου οἰκοδο-

4. αὐτὸ Ch., Chron., αὐτῷ Ox. 13. τῷ αὐτῷ Παυλίνῳ] τοῦ αὐτοῦ Παυλίνου Ch. 17. „δὲ redundat; nec habetur in Chr. Alex.“ Ch. 22. Δαβὶδ] Psalm. L. 20.

pomum Eudociae Augustae dono misit: quo eodem ipsa Paulinum Magistrum, ceu Imperatoris amicum, donavit. Paulinus vero Magister, ignorans illud Imperatorem jam antea Augustae dedisse, Imperatori Theodosio, cum Palatium intraret, remisit. Acceptum vero munus Imperator agnoscit, et secreto apud se servat: vocatamque deinde Augustam interrogat: „Ubi est pomum, inquiens, quod tibi misi? Comedi; inquit Illa.“ Adjuravit illam Theodosius per salutem suam uti diceret, an malum illud edisset ipsa, an vero alteri dono misisset. Juravit illa comedisse se, nec illud alicui dedisse. Tum vero Imperator pomum adferri jussit, allatumque Augustae ostendit; simulque ei irascitur, suspicatus eam Paulino, ceu Amasio suo, pomum misisse, ideoque factum negasse. Paulinum itaque Imperator de medio sustulit: quod factum Imperatoris, tanquam in se injuriosum, indigne tulit Augusta Eudocia: cujus ob causam Paulinum periisse, (Juvenis enim erat formosus) in omnium erat ore. Augusta itaque Theodosium Imperatorem exoratum habuit, uti sibi liceret loca sancta adire, orationis ergo: facultateque impetrata, Eudocia inde ex Constantinopoli Hierosolymam perrexit, orandi causa: Ubi quamplurimis extructis aedificiis, moenia quoque urbis instauravit. Dicebat enim hoc voluisse Davidem Prophetam, in istis: *In bona voluntate tua, Domine, aedi-*

*μηθήσεται τὰ τείχη Ἱερουσαλήμ, κύριε. καὶ μείνασα ἐκεῖ καὶ
κτίσασα ἑαυτῇ μνῆμα βασιλικὸν ἐτελεύτησε, καὶ ἐτέθη ἐν Ἱεροσο-
λύμοις. ἐν δὲ τῷ μέλλειν αὐτὴν τελευτᾶν ἐπωμόσατο μὴ συν-*
C *ειδέναι τῇ κατηγορίᾳ τῆς ἕνεκεν Παυλίνου.*

*Ὁ δὲ βασιλεὺς Θεοδόσιος ἦν ἐλλόγιμος, παρὰ παντὸς τοῦ
δήμου φιλούμενος καὶ τῆς συγκλήτου. ἐπὶ δὲ τῆς βασιλείας αὐ-
τοῦ καὶ Βαλεντινιανοῦ ἐπεστράτευσε κατὰ Ῥώμης καὶ κατὰ
Κωνσταντινουπόλεως Ἀττιλᾶς, ἐκ τοῦ γένους τῶν Γηπέδων,
πλῆθος ἔχων μυριάδων πολλῶν, δηλώσας διὰ Γότθου ἑνὸς
πρεσβευτοῦ τῷ Βαλεντινιανῷ, βασιλεῖ Ῥώμης, Ἐκέλευσέ σοι δι'*
O 59 *ἐμοῦ ὁ δεσπότης μου καὶ δεσπότης σου Ἀττιλᾶς ἵνα εὐτρε-
πίσῃς αὐτῷ τὸ παλάτιόν σου. ὁμοίως δὲ καὶ Θεοδοσίῳ βασιλεῖ*
D *τὰ αὐτὰ ἐν Κωνσταντινουπόλει ἐδήλωσε δι' ἑνὸς Γότθου πρεσ-
βευτοῦ. καὶ ἀκηκοὼς Ἀέτιος ὁ πρῶτος συγκλητικὸς Ῥώμης
τὴν ὑπερβάλλουσαν τόλμαν τῆς ἀπονενοημένης ἀποκρίσεως Ἀττι-
λᾶ, ἀπῆλθε πρὸς Ἀλάριχον πρὸς τοὺς Γάλλους, ὄντα ἐχθρὸν
Ῥωμαίων, καὶ προετρέψατο αὐτὸν καὶ ἤνεγκεν αὐτὸν ἅμα αὐτῷ
κατὰ Ἀττιλᾶ· ἐπολέμησε γὰρ πόλεις πολλὰς τῆς Ῥώμης. καὶ
ἐξαίφνης ἐπιῤῥίψαντες αὐτῷ, ὡς ἐστὶν ἀπληκεύων πλησίον τοῦ
Δανουβίου ποταμοῦ, ἔκοψαν αὐτῶν χιλιάδας πολλάς. εἰς δὲ
τὴν συμβολὴν πληγὴν λαβὼν ὁ Ἀλάριχος ἀπὸ σαγίτας ἐτελεύτη-*

3. *μὴ συνειδέναι τῇ κατηγορίᾳ τῆς ἕνεκεν Παυλίνου*] „Locus mutilus: forte legendum *τῇ* vel *αὐτῆς*· aut etiam supplendum, *τῇ γενομένῃ κατ' αὐτῆς ἕνεκεν Παυλίνου*, uti ista leguntur in Chr. Alex." Ch. 8. *Γηπαίδων*] Per *e* scripsi, ut vol. I. 124. D. II. 64. C. 20. *αὐτῶν*] *αὐτοῦ* Chron. Pasch. p. 318. A.

ficabuntur muri Hierusalem. Ibi autem sede posita, Mausolaeum sibi regium extruxit: et naturae cedens, ibidem sepulta est. Moritura autem juravit, se extra crimen esse, de quo Paulini causa accusata fuerat.

Erat autem Theodosius Imperator doctrina insigniter instructus, populoque suo universo Senatuique summe charus. Eo autem et Valentiniano Imperantibus, Attilas quidam, Gepidum ex genere oriundus, contra Romam et Constantinopolim etiam, exercitum myriadum multarum secum duxit. Hic, per Legatum suum Gothum, Valentiniano, Romae imperanti, edixit: *Imperat tibi per me Dominus meus et Dominus tuus*, Attilas, *uti Palatium tuum sibi paratum efficias.* Eadem plane verba Theodosio etiam Imperatori, Constantinopoli denuncianda, Legato cuidam Gotho demandavit. Caeterum Aëtius, princeps Senatus Romani, ubi hanc tam insani mandati Attilae audaciam intolerandam audisset, profectus in Galliam, ad Alarichum, Romanorum hostem, in belli societatem adversus Attilam, qui plurimas Romani Imperii urbes vastaverat, hortando adduxit. Hi itaque, junctis copiis, Attilam ex improviso, ad Danubium castra ponentem, adorti, millia multa de exercitu ejus exciderunt. Alarichus au-

σιν. ὡσαύτως δὲ καὶ ὁ Ἀττιλᾶς ἐτελεύτησε καταφορᾷ αἵματος διὰ τῶν ῥινῶν ἐνεχθείσῃ νυκτός, μετὰ Οὔννας παλλακίδος αὐτοῦ καθεύδων· ἥτις κόρη καὶ ὑπενοήθη ὅτι αὐτὴ αὐτὸν ἀνεῖλε. πε- O 60
ρὶ οὗ πολέμου συνεγράψατο ὁ σοφώτατος Πρίσκος ὁ Θρᾷξ. ἕτε- E
ροι δὲ συνεγράψαντο ὅτι Ἀέτιος ὁ πατρίκιος τὸν σπαθάριον αὐτοῦ ὑπενόθευσε, καὶ αὐτὸς κεντήσας ἀνεῖλεν αὐτόν· καὶ ὑπέστρεψεν ἐν Ῥώμῃ ὁ πατρίκιος Ἀέτιος νικήσας.

Ὁ δὲ βασιλεὺς Θεοδόσιος ἐν τοῖς αὐτοῖς χρόνοις ἔκτισε τὴν μεγάλην ἐκκλησίαν ἐν Ἀλεξανδρείᾳ· ἥτις λέγεται ἕως τοῦ νῦν V 23
ἡ Θεοδοσίου· ἐφίλει γὰρ Κύριλλον τὸν ἐπίσκοπον Ἀλεξανδρείας.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν παῤῥησίαν λαβόντες ὑπὸ τοῦ ἐπισκόπου οἱ Ἀλεξανδρεῖς ἔκαυσαν φρυγάνοις αὐθεντήσαντες Ὑπατίαν τὴν περιβόητον φιλόσοφον, περὶ ἧς μεγάλα ἐφέρετο· ἦν δὲ παλαιὰ γυνή. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἔπαθεν ὑπὸ θεομηνίας ἡ Κρήτη νῆσος, ἥτις εἶχεν ἐν μέσῳ θαλάσσης ὑπαρχούσας πόλεις ἑκατόν, καθὼς περὶ τῆς αὐτῆς νήσου ἐξέθετο ὁ σοφώτατος O 61
Εὐριπίδης. ἔπαθε δὲ καὶ πᾶσα ἡ περίχωρος αὐτῆς. ἔπεσε δὲ ἐν τῇ αὐτῇ Κρήτῃ τὸ δημόσιον τῆς μητροπόλεως Γορτύνης τὸ κτισθὲν ὑπὸ τοῦ Καίσαρος Ἰουλίου, ἔχον ἰδιάζοντα θόλα ιβ', καὶ ἐν ἑκάστῳ μηνὶ μία διοίκησις θόλων παρεῖχεν. ἦν δὲ τὸ B

2. ἐνεχθείσῃ Ch., ἐνεχθεῖσα Ox. 13. Ὑπατείαν Ox. 18. Εὐριπίδης] Cretensium fabulae verba Κρήτης ἑκατομπτολιέθρου respicit. Quod notare poterat Bentleius p. 23. 48.

tem, in congressu ipso, ictu sagittae vulneratus interiit. Similiter quoque Attilas, cum Hunna pellice concumbens, sanguinis fluxu, ex naribus per noctem prorumpente, mortuus est, a pellice ista, uti vulgo credebatur, e medio sublatus. De hoc bello scripsit sapientissimus Priscus Thrax. Alii autem tradiderunt, Attilae spatharium, ab Aëtio Patricio corruptum, Dominum suum confodisse; atque ita Aëtium, victoria potitum, Romam rediisse.

Iisdem temporibus Theodosius Ecclesiam magnam Alexandriae extruxit; quae Theodosii usque adhuc vocatur Ecclesia: Cyrillum enim, Episcopum Alexandrinum, summo prosecutus est amore.

Circa eadem haec tempora Alexandrini, Episcopo suo freti, licentiam quidvis agendi sibi sumentes, Hypatiam, matronam grandaevam, Philosopham insignem, omniumque ore celebratissimam, vivam cremiis combusserunt. Hujus etiam sub imperio divinam iram passa est Creta insula, quae centum in medio mari positas urbes habuit; uti de hac olim insula cecinit sapientissimus Euripides. Sed et quodcunque ei in circuitu terrarum adjacebat, conquassatum est; corruente quoque eodem tempore Balneo Publico, quod Cretensibus in Gortyna Metropoli extruxerat Julius Caesar. Balnei hujus unicum licet esset aedificium, duodecim tamen Tho-

δημόσιον τέλειον, ὑπὸ δὲ ἑνὸς καμινίου μόνου τὰ δώδεκα θόλα ὑπεκαίοντο· καὶ ἦν ἰδεῖν ξένον θέαμα. καὶ ἀνήγειρεν ἐξ αὐτῶν ὁ βασιλεὺς Θεοδόσιος, ὅ ἐστι δύο σχήματα τοῦ δημοσίου, θερινοῦ καὶ χειμερινοῦ, τῶν κτητόρων τῆς αὐτῆς πόλεως αἰτησάντων αὐτόν. παρέσχε δὲ καὶ λόγῳ κτισμάτων ὑπὲρ τῆς πόλεως καὶ χώρας πολλά.

Ἔκτισε δὲ καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ βασιλικὴν διάφωτον μεγάλην, πάνυ εὐπρεπῆ, κατέναντι οὖσαν τῶν λεγομένων Ἄθλων, ἥντινα οἱ Ἀντιοχεῖς καλοῦσι τὴν Ἀνατολίου, διότι Ἀνατόλιος
C στρατηλάτης ἐπέστη τῷ κτίσματι, λαβὼν τὰ χρήματα ἀπὸ τοῦ βασιλέως, ὅτε ἐγένετο παρ' αὐτοῦ στρατηλάτης ἀνατολῆς· διὰ τοῦτο καὶ ὅτε ἐπλήρωσε τὸ αὐτὸ ἔργον τῆς βασιλικῆς, ἐπέγραψεν ἐν αὐτῇ διὰ χρυσίου μουσαρίου ταῦτα· Ἔργον Θεοδοσίου βα-
O 62 σιλέως· ὥσπερ ἄξιον. ἐπάνω δὲ ἦσαν βασιλεῖς δύο Θεοδόσιος καὶ ὁ συγγενὴς αὐτοῦ Βαλεντινιανὸς ὁ ἐν Ῥώμῃ βασιλεύων. ὁ δὲ αὐτὸς Θεοδόσιος ἐχρύσωσε καὶ τῆς Δαφνητικῆς πόρτας δύο θύρας τὰς χαλκᾶς καθ' ὁμοιότητα ἧς ἐχρύσωσε πόρτας ἐν Κωνσταντινουπόλει, ἥτις καλεῖται ἕως ἄρτι ἡ χρυσέα πόρτα· ὁμοίως δὲ καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ καλεῖται ἕως τῆς νῦν ἡ χρυσέα πόρτα, χρυσωθεῖσα διὰ Νυμφιδιανοῦ ὑπατικοῦ. ἐν ᾧ χρόνῳ
D ἀπηγγέλθη ὁ θάνατος Βαλεντινιανοῦ βασιλέως Ῥώμης, σφαγέντος ὑπὸ Μαξίμου συγκλητικοῦ καὶ κρατήσαντος καὶ βασιλεύσαντος ἐν Ῥώμῃ.

los distinctos, ad singulorum mensium usum destinatos singulos, unica tamen fornace (mirum spectatu) universos calefactos, intra se continebat. Horum vero Tholorum sex, in utriusque lavationis, hybernae scilicet et aestivae usum, petentibus civitatis ejusdem primoribus, reaedificavit Theodosius Imperator. Plurima etiam eidem urbi insulaeque resarciendae ultro largitus est.

Extruxit etiam Imperator Antiochiae magnae Basilicam, e regione loci Athlorum vocati, ingentem illam et splendidissimam praelucidamque: quam et Antiocheni Anatolii Basilicam vocant. Anatolius enim, Magister militum Orientis ab Imperatore constitutus, acceptis ab eo pecuniis, aedificium hoc urgebat operi praepositus: cui etiam ad exitum perducto, inscribi curavit, (nec immerito) artificio musivario inaurato; *Opus Theodosii Imperatoris.* Desuper autem collocabantur Imperatores ambo, Theodosius, et cognatus ejus, Valentinianus, qui Romae regnavit. Idem Theodosius Daphneticae Portae valuas aereas auro superinduxit, ad instar ejus, quae Constantinopoli ab ipso deaurata, *Aurea* adhuc Porta vocatur: quo nomine etiam appellatur haec Antiochena, ad hunc usque diem, quam auro etiam obduxit, curante hoc ei Nymphidiano, viro Consulari: quo tempore etiam nuncium allatum fuit, Maximum Senatorem, occiso rege Valentiniano, Occidentis imperium invasisse.

Ὁ δὲ αὐτὸς Θεοδόσιος βασιλεὺς ἐποίησε κακῶς Ἀντιόχῳ τῷ πραιποσίτῳ καὶ πατρικίῳ, δυναμένῳ ἐν τῷ παλατίῳ καὶ κρατήσαντι τῶν πραγμάτων. ἦν γὰρ καὶ ἀναθρεψάμενος τὸν αὐτὸν Θεοδόσιον ἐν τῇ ζωῇ τοῦ αὐτοῦ πατρός, ὡς κουβικουλάριος καὶ διοικῶν ἀπὸ τοῦ αὐτοῦ πατρὸς Ἀρκαδίου τὴν πολιτείαν Ῥωμαίων. καὶ ἔμεινε μετὰ τὸ πληρῶσαι αὐτόν, ὡς πατρίκιος καταυθεντῶν τοῦ αὐτοῦ Θεοδοσίου. καὶ ἀγανακτήσας κατ' αὐτοῦ ἐδήμευσεν αὐτὸν καὶ κουρεύσας ἐποίησε παπᾶν τῆς μεγάλης ἐκ- O 63 κλησίας Κωνσταντινουπόλεως, ποιήσας διάταξιν μὴ εἰσέρχε- E σθαι εἰς ἀξίας συγκλητικῶν ἢ πατρικίων τοὺς εὐνούχους κουβικουλαρίους μετὰ τὸ πλήρωμα τῆς αὐτῶν στρατείας, τοῦτ' ἔστι τοὺς ἀπὸ πραιποσίτων παλατίου. καὶ ἐτελεύτα ὁ αὐτὸς Ἀντίοχος, ὢν πρεσβύτερος.

Ὁ δὲ αὐτὸς βασιλεὺς προεβάλετο ἔπαρχον πραιτωρίων καὶ ἔπαρχον πόλεως τὸν πατρίκιον Κῦρον, τὸν φιλόσοφον, ἄνδρα V 24 σοφώτατον ἐν πᾶσι. καὶ ἦρξεν ἔχων τὰς δύο ἀρχὰς ἔτη τέσσαρα, προϊὼν εἰς τὴν καροῦχαν τοῦ ἐπάρχου τῆς πόλεως καὶ φροντίζων τῶν κτισμάτων καὶ ἀνανεώσας πᾶσαν Κωνσταντινούπολιν· ἦν γὰρ καθαριώτατος. περὶ οὗ ἔκραξαν οἱ Βυζάντιοι εἰς τὸ ἱππικὸν πᾶσαν τὴν ἡμέραν θεωροῦντος Θεοδοσίου ταῦτα. Κωνσταντῖνος ἔκτισε, Κῦρος ἀνενέωσεν· αὐτὸν ἐπὶ τόπον, Αὔγουστε. Κῦρος δὲ ἐκπλαγεὶς ἀπεφθέγξατο, Οὐκ ἀρέσκει μοι τύχη πολλὰ O 64

Imperator autem Theodosius Antiochum Praepositum, virum Patricium, qui in Palatio plurimum potuit, et omnia pro arbitrio suo ibi disposuit, pessime tractavit. Hic enim, Cubicularius cum fuerit, Theodosium, a Patre ejus adhuc vivente enutriendum, ipsumque adeo Imperium administrandum acceperat. Quin et Patricia fretus dignitate, in Theodosium jam adultum, licentiam suam exercere non desiit. Imperator vero haec in eo minime ferens, bona ejus publicavit, comaque detonsa, magnae Ecclesiae Constantinopolitanae clericum fecit. Quin et Legem quoque tulit, qua cautum est, nequis in posterum ex Cubiculariis Eunuchis, post militiam hanc exactam in Praepositum Palatii factus, ad Senatoriam vel Patriciam dignitatem eveheretur. At vero Antiochus paulo post moritur, senio confectus.

Imperator autem Praetorio Urbique Praefectum constituit Cyrum Patricium, virum Philosophum et in omnibus solertissimum: qui et munus utrumque per quadriennium integrum obivit; carrucaque vectus Praefectoria, aedificiorum per urbem omnium curam suscepit; ipsamque adeo Constantinopolim omnem de integro renovavit: decoris enim erat studiosissimus. Itaque etiam de eo Byzantini, per totam diem acclamantes, ista in Circo extulerunt: *Constantinus extruxit*, *Cyrus instauravit*: Imperatore ipso Ludos interim spectante. At vero Cyrus, super his attonitus, sententiam istam protulit: *Displicet Fortuna nimis blanda*. Impo-

γελῶσα. καὶ ἐχόλεσεν ὁ βασιλεύς, ὅτι ἔκραξαν περὶ Κύρου καὶ μετὰ Κωνσταντίνου αὐτὸν ἔκραξαν, ὡς ἀνανεώσαντα τὴν πόλιν· καὶ κατεσκευάσθη λοιπὸν καὶ ἐπλάκη ὡς Ἕλλην ὁ αὐτὸς Κῦρος, B καὶ ἐδημεύθη πανθεὶς τῆς ἀρχῆς. καὶ προσφυγὼν ἐγένετο καὶ αὐτὸς παπᾶς, καὶ ἐπέμφθη εἰς τὴν Φρυγίαν, ἐπίσκοπος γενάμενος εἰς τὸ λεγόμενον Κοτυάειον. ἦσαν γὰρ οἱ αὐτοὶ Κοτυαεῖς πολῖται φονεύσαντες ἐπισκόπους τέσσαρας· τὸ δὲ Κοτυάειον πόλις ἐστὶ τῆς Φρυγίας ἐπαρχίας Σαλουταρίας. καὶ κατέλαβε τὴν Κοτυαέων πόλιν ἐπίσκοπος ὢν ὁ αὐτὸς Κῦρος πρὸ τῶν ἁγίων γενεθλίων. γνόντες δὲ οἱ τῆς πόλεως κληρικοὶ καὶ πολῖται ὅτι ὡς Ἕλληνα ἔπεμψεν αὐτὸν ὁ βασιλεύς, ἵνα ἀποθάνῃ, ἐν τοῖς ἁγίοις γενεθλίοις ἐξαίφνης οὖν ἐν τῇ ἐκκλησίᾳ ἔκραξαν αὐτῷ προσομιλῆσαι. καὶ ἀναγκασθεὶς ἀνῆλθεν ὁμιλῆσαι· καὶ μετὰ τοῦ O 65 δοῦναι εἰρήνην προσωμίλησεν οὕτως. Ἀδελφοί, ἡ γέννησις τοῦ C θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σιωπῇ τιμάσθω, ὅτι ἀκοῇ μόνῃ συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ λόγῳ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ εὐφημηθεὶς κατῆλθε, καὶ ἔμεινεν ἐκεῖ ἕως θανάτου. καὶ προηγάγετο ἔπαρχον Ἀντίοχον τὸν Χούζωνα, τὸν ἔγγονον Ἀντιόχου τοῦ Χούζωνος τοῦ μεγάλου, ὃς παρέσχεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ προσθήκην χρημάτων εἰς τὸ ἱππικὸν καὶ τὰ Ὀλύμπια καὶ τὸν Μαϊουμᾶν. καὶ μετ' αὐτὸν

6. Κοτιαεῖς Ox. 13. τοῦ] τὸ Chron. p. 318. C. 16. συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ λόγῳ] „Lego, λόγος, sive potius, ὁ λόγος. Chr. Alex. habet, συνελήφθη ἐ. τ. α. παρθένῳ· λόγος γὰρ ἦν. αὐτῷ ἡ δόξα etc.“ Ch.

rator autem iratus ad haec, Cyrumque, urbis Instauratorem, pari acclamantium plausu cum Constantino celebrari dedignatus; eum, tanquam Graecum hominem, religionis postulavit: et honoribus omnibus exutum, bonis etiam publicatis, ipsum asylum petentem comprehendit, clericumque fieri coëgit. In Phrygiam deinde Episcopus, ad Cotyaeum, Phrygiae Salutaris urbem, missus est: cujus urbis incolae quatuor jamjam Episcopos suos e medio sustulerant. Instabant tum Sancti Natales, cum Cyrus Episcopus Cotyaeum advenit. Clerus autem, populusque Cotyaeensis, probe scientes Cyrum Episcopum eo ab Imperatore missum ideo, uti tanquam Graecus homo interficeretur, ipso Genethliorum die derepente omnes in Ecclesia voce alta exclamantes, concionem ab eo fieri petiverunt. Coactus itaque ab eis, in Concionem ascendit: et pacem prius populo precatus, hujusmodi ad eos Concionem habuit. *Fratres, Natales Dei, et Salvatoris nostri Jesu Christi, par est, uti silentio recolantur; eo quod, auditu solo, in Sancta Virgine, conceptum est Verbum. Cui sit gloria, in saecula saeculorum, Amen.* Omnium deinde plausibus acceptus, descendit; ibique ad mortem usque remansit. Praefectus autem constitutus est Antiochus Chuzon, magni Antiochi Chuzonis, qui Antiochenis in auctarium pecunias dedit, sumptibus in Circensia, Olympia, et Majumae

προήχθη ἔπαρχος Ῥουφῖνος ὁ συγγενὴς τοῦ αὐτοῦ βασιλέως· καὶ ἐφονεύθη, ὡς μελετήσας τυραννίδα.

Ὁ δὲ αὐτὸς βασιλεὺς Θεοδόσιος ἐφίλει ἔρωτι Χρυσάφιον τὸν κουβικουλάριον, τὸν λεγόμενον Ζτομμᾶν, ὡς πάνυ εὐπρεπῆ D ὄντα· καὶ παρεῖχεν αὐτῷ πολλὰ ὅσα ἂν ᾐτήσατο αὐτόν, καὶ εἶχε παῤῥησίαν πρὸς αὐτόν, καὶ κατῆρχε πάντων τῶν πραγμάτων καὶ ἥρπαζε πάντα· ἦν γὰρ πάτρων καὶ προστάτης τῶν Πρασίνων.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔπαθεν ὑπὸ θεομηνίας Νικομήδεια, μητρόπολις τῆς Βιθυνίας, τὸ πέμπτον αὐτῆς πάθος ἑσπέ- O 66 ρας βαθείας καὶ ἀπώλετο εἰς γῆν καὶ εἰς θάλασσαν καταποντισθεῖσα. καὶ πολλὰ ἔκτισεν ἐκεῖ καὶ τὰ δημόσια καὶ τοὺς ἐμβόλους καὶ τὸν λιμένα καὶ τὰ θεώρια καὶ τὸ μαρτύριον τοῦ ἁγίου Ἀνθίμου καὶ πάσας τὰς ἐκκλησίας αὐτῆς.

Ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ παρέλαβον οἱ Ἴσαυροι λησταρ- E χοῦντες Σελεύκειαν τῆς Συρίας μηνὶ περιτίῳ, ἐπὶ τῆς ὑπατείας τοῦ αὐτοῦ Θεοδοσίου καὶ Ῥομορίδου· καὶ ἐπραίδευσαν καὶ ἔστρεψαν τὴν χώραν ἐλθόντες διὰ τῶν ὀρέων· καὶ πάντα λαβόντες ὑπέστρεψαν εἰς τὴν Ἰσαυρίαν.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔπαθεν ὑπὸ θεομηνίας πρώτοις Κωνσταντινούπολις ὑπὸ σεισμοῦ μηνὶ Ἰανουαρίῳ κϛ΄ ἐν νυκτὶ V 25 ἀπὸ τῶν λεγομένων Τρωαδησίων ἐμβόλων ἕως τοῦ χαλκοῦ τετρα-

21. Ἰαννουαρίῳ Ox. 22. Τρωαδησίων Chron. p. 318. D, Τροαδησίων Ox. *ibid.* ἐμβόλων cum eodem Ch., νυμβόλων Ox.

festum faciendis, nepos. Post hunc Imperator Praefectum constituit Rufinum, cognatum suum: qui imperium sibi arripere tentans, interfectus est.

Adamavit autem Theodosius Chrysaphium quendam, Cubicularium, cognomento Ztummam: egregia enim forma praeditus erat. Huic plurima largitus est, nihilque ei non indulsit: tantumque apud Imperatorem potuit, ut cujusque bona arripiens sibi, pro arbitrio suo omnia agitaret. Prasinae quoque Factionis Patrocinium susceperat.

Hujus sub imperio Nicomedia, Bithyniae Metropolis, quintam coelestis irae vicissitudinem perpessa est nocte intempesta, eversa funditus et mari obruta. Plurima itaque ibi extruxit, Balnea, Porticus, Portum, Theoria: Sancti item Anthimi Martyrium caeterasque Ecclesias omnes denuo excitavit.

Eodem Imperante ab Isauria praedones, per montes viam capessentes, Seleuciam Syriae vi occupatam spoliarunt; regioneque tota devastata, abreptisque omnibus, Isauriam suam repetierunt. Factum hoc Februario mense, Theodosio ipso et Romorido Coss.

Hujus sub imperio Constantinopolis divinam iram primum experta est, Januarii xxvi, nocturno tempore; a Troadensibus, quas vocant, Porticibus, adusque Tetrapylum aereum terrae tremoribus concussa. Impe-

πύλου. ὅστις βασιλεὺς ἐλιτάνευσε μετὰ τῆς συγκλήτου καὶ τοῦ
ὄχλου καὶ τοῦ κλήρου ἀνυπόδητος ἐπὶ ἡμέρας πολλάς.
Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἦλθε πολεμῶν Ῥωμαίοις Βλάσσης, βα-
O 67 σιλεὺς Περσῶν· καὶ γνοὺς ὁ βασιλεὺς Ῥωμαίων ἐποίησε στρατη-
λάτην ἀνατολῆς τὸν πατρίκιον Προκόπιον καὶ ἔπεμψεν αὐτὸν μετὰ ἐξπεδίτου πολεμῆσαι. μέλλοντος δὲ αὐτοῦ συμβάλλειν ἐδήλωσεν αὐτῷ ὁ βασιλεὺς Περσῶν ὅτι Εἰ ἔχει τὸ ἐξπέδιτόν σου ὅλον ἄνδρα δυνάμενον μονομαχῆσαι καὶ νικῆσαι ἕνα Πέρσην προβαλ-
B λόμενον παρ' ἐμοῦ, εὐθέως ποιῶ τὰ πάκτα τῆς εἰρήνης ἐπὶ ἔτη ν' καὶ τὰ ἐξ ἔθους παρεχόμενα δῶρα. καὶ τούτων δοξάντων προεβάλετο ὁ βασιλεὺς Περσῶν ἐκ τοῦ τάγματος τῶν λεγομένων ἀθανάτων Πέρσην ὀνόματι Ἀρδαζάνην, οἱ δὲ Ῥωμαῖοι Ἀρεόβινδόν τινα Γότθον, κόμητα φοιδεράτων. καὶ ἐξῆλθον οἱ δύο ἔφιπ-
O 68 ποι καὶ ἔνοπλοι. ὁ δὲ Ἀρεόβινδος ἐβάσταζε καὶ σωκάρην κατὰ τὸ Γοτθικὸν ἔθος. πρῶτος δὲ ὁ Πέρσης ὥρμησε μετὰ τοῦ κον-
O 69 τοῦ· καὶ πλαγιάσας ὁ Ἀρεόβινδος ἐπὶ τὸ δεξιὸν αὐτοῦ μέρος ἐσώκκευσεν αὐτόν, καὶ κατενεγκὼν ἐκ τοῦ ἵππου ἔσφαξε. καὶ λοιπὸν ὁ βασιλεὺς Περσῶν ἐποίησε πάκτα εἰρήνης· καὶ ἀνελθὼν μετὰ τὴν νίκην ὁ αὐτὸς Ἀρεόβινδος ἐν Κωνσταντινουπόλει σὺν
C τῷ στρατηλάτῃ Προκοπίῳ καὶ εὐχαριστηθεὶς παρὰ τοῦ βασιλέως προήχθη ὕπατος.
Ὁ αὐτὸς δὲ βασιλεὺς ἐποίησεν ἐπαρχίαν, ἀπομερίσας ἀπὸ

15. κόντου Ox.

rator itaque, cum Senatu populoque et clero universo, nudus pedes, per dies multos Deum precibus propitiatus est.

Circa idem tempus, Persarum Rex Blasses adversus Romanos arma movit. Quo audito, Imperator Procopium Patricium, magistrum militum Orientis constitutum, contra Persam cum exercitu misit. Cumque jam praelium initurus erat, Rex Persarum illi denunciavit his verbis: „Si modo per totum exercitum tuum inveniri possit, qui Persam, quem Ego in certamen daturus sum, praelio singulari devicerit, Ego protinus pacis con itiones in annos L vobis daturus sum et pro more munera" Cumque de hoc utrinque conventum fuisset, Persa ex suis quendam produxit, nomine Ardazanem, ex cohorte quam vocant *Immortalium*; cui Romani opposuerunt Areobindum quendam Gothum, comitem Foederatorum. Hi itaque duo armati, et equis insidentes, egressi sunt: Areobindo, pro more gentis suae, socarem ferente. Prior autem Persa Gothum conto petit: cujus ictum Areobindus, corpore dextrorsum obliquato, declinans, ipsum laqueo implicavit, ex equoque deturbatum, interfecit. Tum vero Rex Persarum pacis conditiones dedit. Areobindus autem, post partam victoriam, Constantinopolim rediens cum Procopio Militum magistro, qualem promeruit ab Imperatore gratiam reportavit, ad Consularem dignitatem provectus.

Idem Imperator Lyciam a Lycaonia dirimens, Provinciam fecit; de-

τῆς Λυκαονίας, ἥντινα ἐκάλεσε Λυκίαν, δοὺς δίκαιον μητροπόλεως καὶ ἄρχοντα τῇ λεγομένῃ πόλει Μύρᾳ τῆς αὐτῆς Λυκίας, ἔνθα ἐστὶ θεοῦ μυστήριον πῦρ αὐτόματον. ὁμοίως δὲ ὁ αὐτὸς βασιλεὺς καὶ Συρίαν δευτέραν ἀπομερίσας ἀπὸ τῆς πρώτης ἐπαρχίας, δοὺς δίκαιον μητροπόλεως καὶ ἄρχοντα τῇ Ἀπαμείᾳ τῇ πόλει, καὶ Κιλικίαν δευτέραν ἀπομερίσας ἀπὸ τῆς πρώτης ἐποίησεν ἐπαρχίαν, δοὺς δίκαιον μητροπόλεως καὶ ἄρχοντα Ἀναζάρβῳ τῇ πόλει. ἐποίησε δὲ καὶ ἄλλην ἐπαρχίαν, ἀπομερίσας ἀπὸ τῆς Βιθυνίας, ἥντινα ἐκάλεσεν Ὁνωριάδα εἰς ὄνομα τοῦ αὐ- D τοῦ θείου Ὁνωρίου, δοὺς δίκαιον μητροπόλεως καὶ ἄρχοντα Ἡρακλείᾳ, πόλει τῆς Πόντου.

Ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ ἀκμὴν Νεστόριος ἤκμαζεν· ὅστις ἐπίσκοπος μετὰ ταῦτα ἐγένετο Κωνσταντινουπόλεως· καὶ ταρα- O 70 χῆς γενομένης ἐν τῷ ὁμιλεῖν αὐτόν, ἠναγκάσθη ὁ αὐτὸς Θεοδόσιος προσκαλέσασθαι τὴν σύνοδον τῶν σμʹ ἐπισκόπων ἐν Ἐφέσῳ κατὰ τοῦ αὐτοῦ Νεστορίου καὶ καθελεῖν αὐτὸν ἀπὸ τῆς ἐπισκοπῆς. ἡγεῖτο δὲ τῆς συνόδου Κύριλλος ὁ ἐπίσκοπος Ἀλεξανδρείας τῆς μεγάλης.

Ἐν αὐτῷ δὲ τῷ καιρῷ ἐν τῇ Ῥώμῃ διάγουσα ἡ δέσποινα Εὐδοξία, γενομένη χήρα, γυνὴ Βαλεντινιανοῦ βασιλέως, θυγάτηρ E δὲ Θεοδοσίου βασιλέως καὶ Εὐδοκίας, λυπουμένη κατὰ Μαξίμου τοῦ τυράννου τοῦ φονεύσαντος τὸν ἄνδρα αὐτῆς καὶ βασιλεύσαντος, προετρέψατο δὲ Ζινζίριχον τὸν Οὐάνδαλον, τὸν ῥῆγα τῆς Ἀφρικῆς, ἐλθεῖν κατὰ Μαξίμου, βασιλέως τῆς Ῥώμης. ὅστις

2. Μύρα] τὰ Μύρα vocat ipse p. 36. C. 21. λυπουμένη Ch., λυπουμένης Ox. 23. „δὲ omnino redundat." Ch.

tis Praefecto et Metropolis jure Myrae, urbi Lyciae: ubi et divinum est Miraculum, ignis sponte e terra erumpentis. Idem etiam Syriam secundam a prima sejungens, in Provinciam fecit; Apamiae Praefecto et jure Metropolitico concessis. Ciliciam praeterea secundam a prima dirimens, Provinciam fecit; urbe Anazarbo, Metropolitico jure et Praefecto donata. Bithyniae quoque partem abscindens, Provinciam fecit; quam, a patrui nomine, Honoriadem appellavit: cujus etiam primariam urbem, Heracleam Ponti Praefecto jureque Metropolitico donavit.

Hujus sub Imperio Nestorius floruit: Erat hic Ecclesiae Constantinopolitanae posthaec Episcopus: in quem concionantem cum tumultus a populo cierentur, Imperator Ephesinam contra eum Synodum CCXL Episcoporum convocare coactus est, eumque Episcopatu deturbare. Synodo huic praefuit Cyrillus, Alexandriae magnae Episcopus.

Circa id tempus Eudoxia Augusta, Valentiniani Regis Vidua, et Theodosii Imperatoris ex Eudocia filia, Romae degens moesta et Maximo Tyranno, ob conjugis sui caedem, infensa, Zinzerichum Vandalum, Africae regem, adversus Maximum, Romae imperantem, incitavit: qui dere-

ἐξαίφνης ἦλθεν ἐν τῇ Ῥώμῃ πόλει μετὰ πλήθους καὶ παρέλαβε τὴν Ῥώμην, καὶ ἐφόνευσε τὸν Μάξιμον βασιλέα καὶ πάντας
V 26 ἀπώλεσε, πραιδεύσας πάντα τὰ τοῦ παλατίου ἕως τῶν χαλκουρ-
O 71 γημάτων, λαβὼν αἰχμαλώτους τοὺς περιλειφθέντας συγκλητικοὺς καὶ τὰς γυναῖκας αὐτῶν, ἐν οἷς ἔλαβε καὶ τὴν προτρεψαμένην αὐτὸν τὴν δέσποιναν Εὐδοξίαν καὶ τὴν θυγατέρα αὐτῆς Πλακιδίαν τὴν γυναῖκα τοῦ πατρικίου Ὀλυβρίου, αὐτοῦ διάγοντος ἐν Κωνσταντινουπόλει, καὶ Εὐδοκίαν δὲ τὴν παρθένον αἰχμαλώτους· καὶ ἀπήγαγε πάντας ἐν τῇ Ἀφρικῇ, ἐν Καρταγένῃ πόλει. ὅστις Ζινζίριχος εὐθέως ἐξέδωκε τῷ ἰδίῳ αὐτοῦ υἱῷ Ὀνωρίχῳ τὴν θυγατέρα Εὐδοξίας τῆς δεσποίνης τὴν παρθένον Εὐδοκίαν τὴν μικράν· καὶ εἶχεν αὐτὰς ἐν τιμῇ μεθ' ἑαυτοῦ.

B Ὁ δὲ βασιλεὺς Θεοδόσιος μαθὼν ὅτι κατὰ γνώμην Εὐδοξίας τῆς αὐτοῦ θυγατρὸς προεδόθη ἡ Ῥώμη, ἐλυπήθη πρὸς αὐτὴν καὶ εἴασεν αὐτὴν ἐν τῇ Ἀφρικῇ παρὰ Ζινζιρίχῳ μηδὲν αὐτῷ δηλώσας, ἀλλὰ ποιήσας πρόκενσον ἐξῆλθεν ἀπὸ Κωνσταντινουπόλεως εἰς Ἔφεσον, πόλιν τῆς Ἀσίας· καὶ ηὔξατο εἰς τὸν ἅγιον Ἰωάννην τὸν θεολόγον αἰτῶν αὐτὸν τίς ἄρα μετ' αὐτον βασιλεύει; καὶ ἐν ὁράματι ἔμαθε· καὶ ἦλθεν ἐν Κωνσταντινουπόλει. μετὰ δὲ ὀλίγον καιρὸν ἐξῆλθεν ἱππασθῆναι· καὶ ἐν τῷ ἱππάζεσθαι αὐτὸν συνέπε-
O 72 σεν ἐκ τοῦ ἵππου· καὶ πληγεὶς τὸν σφόνδυλον αὐτοῦ εἰσῆλθε λε-
C κτικίῳ. καὶ καλέσας τὴν ἀδελφὴν αὐτοῦ τὴν δέσποιναν Πουλ-

9. Χαρταγέννῃ Ox. 10. Ὀνορίχῳ Ox. 21. λεκτικίῳ Ch. cum Chron., Cedrenus p. 343. D, λεκτικτίῳ Ox.

pente cum copiis suis Romam veniens, eam cepit; Maximoque cum copiis ejus omnibus deleto, cuncta ex Palatio usque ad aeneas statuas diripuit. Senatores etiam superstites, cum uxoribus, captivos abduxit: inter quas et Eudoxiam quoque Augustam, quae illum accersiverat, filiamque ejus Placidiam, Olybrii Patricii (qui tum Constantinopoli commorabatur) uxorem et Eudociam etiam, virginem, in Africam ad Carthaginem captivas duxit. Reversus itaque Zinzerichus, Eudociam minorem, virginem, Eudoxiae Augustae filiam, filio suo Honorio in uxorem dedit: utrisque, et matre et filia, apud se in honore habitis.

Imperator autem Theodosius, ubi rescivisset filiam suam Eudoxiam Romae proditae auctorem fuisse, ei infensus erat; captivamque eam in Africa apud Zinzerichum, nec verbo de ea ullo apud eum habito, manere sivit. Ipse vero Processu facto, ex Constantinopoli in Ephesum, Asiae urbem, devenit: ubi S. Joannis Theologi aedem ingressus, fusis precibus, rogavit eum; quisnam post se Imperium suscepturus esset? Quod ubi per somnium edoctus fuisset, Constantinopolim repetiit. Non multo autem post temporis equitatum egressus, inter equitandum equo excussus est; luxataque ex casu spinae vertebra, in Palatium lectica delatus est. Tum vero vocata ad se sorore Pulcheria Augusta, de Marciano, qui sibi

χερίαν εἶπεν αὐτῇ διὰ Μαρκιανὸν τὸν ἔχοντα μετ' αὐτὸν βασιλεῦσαι. καὶ μεταστειλάμενος Μαρκιανὸν τὸν ἀπὸ τριβούνων εἶπεν αὐτῷ ἐπὶ Ἄσπαρος καὶ τῶν συγκλητικῶν πάντων ὅτι Ἐφάνη μοι, ὅτι σὲ δεῖ γενέσθαι βασιλέα μετ' ἐμέ. καὶ μεθ' ἡμέρας δύο τελευτᾷ ὁ αὐτὸς Θεοδόσιος, ὢν ἐνιαυτῶν να'.

Μετὰ δὲ τὴν βασιλείαν τοῦ αὐτοῦ Θεοδοσίου ἐβασίλευσεν ἀπὸ O 73
D
τῆς συγκλήτου στεφθεὶς ὁ θειότατος Μαρκιανός· ἦν δὲ μακρός, ἁπλόθριξ, πολιός, στυφόμενος τοὺς πόδας, ἔτους κατὰ Ἀντιόχειαν υϟθ', ἰνδικτιῶνος δ'. ᾗ μόνον δὲ ἐβασίλευσεν, ἐγάμησε τὴν ἀδελφὴν Θεοδοσίου τοῦ βασιλέως τὴν δέσποιναν Πουλχερίαν, οὖσαν παρθένον ἐνιαυτῶν νδ'. ἐβασίλευσε δὲ ἔτη ς' καὶ μῆνας ε'.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔπαθεν ὑπὸ θεομηνίας ἡ λεγομένη Τρίπολις τῆς Φοινίκης παράλου μηνὶ γορπιαίῳ ἐν νυκτί. καὶ ἀνήγειρε τὸ δημόσιον τὸ θερινὸν πεσόντα τὸ λεγόμενον ὁ Ἴκαρος. ἦν γὰρ ἐν αὐτῷ χαλκουργήματα δύο, ἅτινα καὶ αὐτά εἰσι E
τῶν θεαμάτων, ὁ Ἴκαρος καὶ ὁ Δαίδαλος καὶ ὁ Βελλεροφῶν καὶ ὁ Πήγασος ἵππος. καὶ τὸ Φακίδιον δὲ ἀνενέωσε καὶ ἄλλα φανερὰ τῆς πόλεως αὐτῆς σὺν τῷ ἀγωγῷ.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας προσεκαλέσατο τὴν σύνοδον Χαλκηδόνος τῶν χλ' ἐπισκόπων.

in imperio successurus erat, cum ea sermones habuit. Accersito etiam Marciano, qui ex Tribunis fuerat, dixit ei, praesentibus Aspare Senatuque omni: „Divinitus mihi ostensum est, Te post Me Imperaturum.“ Secundo autem post die Theodosius e vivis excessit, annum agens LI.

M A R C I A N U S
I M P E R A T O R.

Theodosio demortuo, imperium habuit sacratissimus Marcianus, a Senatu Diademate insignitus. Annus erat Aerae Antiochenae CCCCXCIX, Indictionis IV. Erat autem hic procerus, crine lento, canus, pedibus infirmis. Statim vero a suscepto Imperio, in uxorem sibi sumpsit Pulcheriam Augustam, Theodosii Imperatoris sororem; quae virgo erat annorum LIV. Imperavit vero Marcianus annos VI et menses V.

Sub hujus autem Imperio Tripolis, Phoeniciae maritimae urbs, divinam iram passa est, mense Septembri, tempore nocturno: cujus Balneum aestivum, terrae motibus collapsum, Imperator instauravit. Nomen huic, *Icarium*, erat: a statuis nempe aereis, quae ibi positae erant, Icari, atque Daedali; (quas inter mundi Miracula connumeres) et praeterea etiam Bellerophontis et Pegasi equi. Phacidium etiam et Aquaeductum aliaque plurima ejusdem urbis aedificia, instauravit.

Imperator etiam iste Synodum Chalcedonensem DCXXX Episcoporum convocavit.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἀνεδόθησαν αἱ δέσποιναι Εὐδο-
O 74 V 27 ξία καὶ Πλακιδία, καὶ ἦλθον ἐν Κωνσταντινουπόλει· καὶ ἔλαβεν
Ὀλύβριος τὴν γυναῖκα αὐτοῦ Πλακιδίαν· καὶ ἔτεκεν Ἰουλιάναν
εἰς τὸ Βυζάντιον.

Ὁ δὲ αὐτὸς βασιλεὺς καὶ Χρυσάφιον τὸν Ζτουμμὰν τὸν κουβικουλάριον ἀπεκεφάλισε καὶ ἐδήμευσε, τὸν φιλούμενον παρὰ τοῦ πρὸ αὐτοῦ βασιλέως, ὡς πολλοὺς ἐπηρεάσαντα καὶ προσελθόντας κατ' αὐτοῦ καὶ ὡς προστάτην καὶ πάτρωνα τῶν Πρασίνων.

B Ὁ δὲ αὐτὸς Μαρκιανὸς ἔδωκε τὴν θυγατέρα αὐτοῦ τὴν ἀπὸ
προτέρας γαμετῆς Ἀνθιμίῳ· καὶ ἐποίησεν αὐτὸν βασιλέα ἐν τῇ
Ῥώμῃ· ἐξ ἧς ἔσχε θυγατέρα Ἀνθίμιος ἣν ἐξέδωκε τῷ στρατηλάτῃ
Ῥεκίμερ.

Ὁ δὲ αὐτὸς Μαρκιανὸς ἔχαιρε τῷ Βενέτῳ μέρει κατὰ πόλιν·
ὅστις καὶ διάταξιν αὐτοῦ θείαν ἐξεφώνησε, ταραχῆς γενομένης πα-
ρὰ τῶν τοῦ Πρασίνου μέρους, μὴ πολιτεύεσθαι Πρασίνους ἐκέ-
λευσε μήτε στρατεύεσθαι ἐπὶ ἔτη τρία. καὶ ὀργισθεὶς διὰ τὴν
ταραχὴν ἐστύφθη τοὺς πόδας αὐτοῦ· καὶ ἐξ αὐτοῦ ἀῤῥωστήσας
O 75 ἐπὶ μῆνας πέντε καὶ σαπεὶς ἐτελεύτα, ὢν ἐνιαυτῶν ξε'. Πουλ-
χερία δὲ ἡ δέσποινα ἐτελεύτα πρὸ αὐτοῦ πρὸ ἐνιαυτῶν δύο.

1. ἀνεδόθησαν] ἀνεδόθη Ox. 3. Ἰουλιάναν Ch., Ἰουλιανόν Ox. Conf. p. 41. B. 8. πάτρωνα] πάτρονα Ox. 15. ἐκέλευσε om. Chron. p. 320. C.

Ejusdem sub imperio Eudoxia et Placidia Augustae, ad suos remissae, Constantinopolim redierunt; suamque rursus uxorem sibi habuit Placidiam Olybrius: ex qua Julianum Constantinopoli suscepit.

Idem Imperator Chrysaphium cubicularium, cognomine Ztummam, quem Theodosius Imperator adeo charum sibi habuit, capite multavit, bonis ejus publicatis: ut qui a multis, ab eo laesis, accusatus fuisset, et Factionis etiam Prasinae partes et patrocinium suscepisset.

Porro autem Marcianus filiam, ex priore uxore sibi natam, Anthimio in uxorem dedit; tradito etiam ei Romano Imperio. Ex hac Anthemius quoque filiam habuit, quam Recimero, militum magistro locavit.

Marcianus autem, ubique per Imperium, Factionis Venetae partes egit: itaque etiam, cum a Prasinis tumultus excitatus fuerat, Edicto suo Imperatorio cavit, ne quis ex Factione Prasina Magistratu, vel Militia intra triennium fungeretur. Ob excitatum vero tumultum plus justo iratus, solita inde pedum infirmitate correptus est: ex qua cum per menses v decubuisset, putredine demum contracta, diem suum obiit, annos natus LXV; duobus post annis, quam Pulcheria Augusta e vivis excesserat.

Μετὰ δὲ τὴν βασιλείαν Μαρκιανοῦ ἐστέφθη ὑπὸ τῆς συγκλή- C
του ὁ θειότατος Λέων ὁ μέγας ὁ Βέσσος ἔτη ις' καὶ μῆνας ια'.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐβασίλευσεν ἐν Ῥώμῃ Ἀνθίμιος ὁ ὑπὸ Μαρκιανοῦ στεφθείς.

Ἐν δὲ τῇ βασιλείᾳ Λέοντος ἔπαθεν ὑπὸ θεομηνίας Ἀντιόχεια ἡ μεγάλη τὸ τέταρτον αὐτῆς πάθος μηνὶ σεπτεμβρίῳ ιγ' διαφαυούσης κυριακῆς ἔτους κατὰ τὴν αὐτὴν Ἀντιόχειαν χρηματίζοντος φς', ἐπὶ τῆς ὑπατείας Πατρικίου· καὶ ἐχαρίσατο τοῖς Ἀντιοχεῦσι καὶ τῇ πόλει λόγον κτισμάτων ὁ αὐτὸς βασιλεὺς πολλά.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἐτελεύτα ὁ ἅγιος Συμεὼν ὁ στυ- D
λίτης, ὄντος τότε Ἀρδαβουρίου τοῦ πατρικίου, τοῦ υἱοῦ Ἄσπαρος, στρατηλάτου ἀνατολῆς. καὶ κραξάντων τῶν Ἀντιοχέων καὶ αἰ- O 76
τησάντων τὸ σῶμα τοῦ δικαίου, ἔπεμψεν ὁ αὐτὸς Ἀρδαβούριος Γοτθικὴν βοήθειαν καὶ ἤνεγκε τὸ λείψανον τοῦ ἁγίου Συμεῶνος ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ· καὶ ἐκτίσθη αὐτῷ μαρτύριον οἶκος μέγας καὶ ἐτέθη ἐν αὐτῷ εἰς σορόν.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ Λέοντος κατεῤῥήθη Ἰσοκάσιος ὁ κοιαιστώριος ὁ φιλόσοφος ὡς Ἕλλην· ὅστις κατήγετο ἐκ γένους Αἰγεώτης τῆς Κιλικίας· ἦν δὲ κτήτωρ Ἀντιοχείας τῆς μεγάλης.

9. λόγον] λόγῳ Ch. 17. κατηῤῥέθη Ox., κατηγορήθη Chron. p. 322. A.

L E O M A G N U S

I M P E R A T O R.

Hunc excepit in imperio sacratissimus Leo Magnus, Bessus natione; a Senatu Diademate insignitus: Regnavit autem annos XVI et menses XI.

Hoc Imperium tenente, Romae regnavit Anthemius, quem ad hanc dignitatem Marcianus evexerat.

Imperante autem Leone, quartam coelestis irae vicissitudinem passa est Antiochia magna, Septembris XIII, sub primam lucem: Dies erat Dominicus, annus autem Aerae Antiochenae 506, Patricii sub Consulatu. Imperator autem civibus atque urbi instaurandae multa largitus est.

Eodem Imperante, sanctus Symeon stylita e vivis excessit; quo tempore magister Militum Orientis erat Ardaburius Patricius, Asparis filius. Antiochensibus autem clamitantibus, et Justi illius reliquias sibi petentibus, Ardaburius, missa Gothorum armata manu, S. Symeonis corpus Antiochiam magnam deportavit. Antiochenses itaque Martyrium ei magnum extruxerunt; ubi Sanctus ille jacet, capulo reconditus.

Leonis hujus sub Imperio, Isocasius, vir Quaestorius, Philosophus, ex Aegis in Cilicia oriundus, apud Imperatorem delatus, Paganismi postulatus est. Erat hic civis Antiochiae magnae, qui multos magistratus cum

ὅστις διήνυσεν ἀρχὰς πολλὰς μετὰ δόξης· ἦν γὰρ σφόδρα λογι-
κός· καὶ συσχεθεὶς κατὰ κέλευσιν τοῦ βασιλέως, διάγων τότε ἐν
E *Κωνσταντινουπόλει καὶ ἀποζωσθεὶς τῆς ἀξίας αὐτοῦ, παρεπέμ-*
φθη ἐν Χαλκηδόνι ἀπὸ Κωνσταντινουπόλεως τῷ ἄρχοντι Βιθυ-
O 77 *νίας Θεοφίλῳ, ὅστις καὶ τὰς φωνὰς αὐτοῦ ἔλαβεν. Ἰακώβου δὲ*
τοῦ κόμητος καὶ ἀρχιατροῦ τοῦ λεγομένου ψυχρίστου παρακαλέ-
σαντος τὸν βασιλέα· ἐφίλει γὰρ ὁ βασιλεὺς τὸν αὐτὸν Ἰάκωβον
καὶ πᾶσα δὲ ἡ σύγκλητος καὶ ἡ πόλις, ὡς ἄριστον ἰατρὸν καὶ φι-
V 28 *λόσοφον· ᾧτινι καὶ ἡ σύγκλητος εἰκόνα συνεστήσατο ἐν τῷ Ζευ-*
ξίππῳ· ὅστις Ἰάκωβος ἐδυσώπησε τὸν βασιλέα, αἰτῶν αὐτὸν ἐν
Κωνσταντινουπόλει ἐξετασθῆναι τὸν αὐτὸν Ἰσοκάσιον παρὰ τῆς
συγκλήτου καὶ τοῦ ἐπάρχου τῶν πραιτωρίων καὶ μὴ παρὰ ἄρχον-
τι ἐπαρχίας, ἐπειδὴ κοιαίστωρος εἶχεν ἀξίας. καὶ πεισθεὶς ὁ
βασιλεὺς Λέων ἐκέλευσεν ἐνεχθῆναι ἀπὸ Χαλκηδόνος τὸν αὐτὸν
Ἰσοκάσιον· καὶ ἐνεχθεὶς εἰς τὸν Ζεύξιππον ἐξητάζετο παρὰ τοῦ
ἐπάρχου τῶν πραιτωρίων Πουσαίου· καὶ ἐλάλησεν ὁ αὐτὸς Πού-
σαῖος κατὰ αὐτοῦ Ἰσοκασίου εἰσελθόντος πρὸ βήματος γυμνοῦ
καὶ δεδεμένου ὀπισθάγκωνα, Ὁρᾷς σαυτόν, Ἰσοκάσιε, ἐν ποίῳ
B *σχήματι καθέστηκας; ἀποκριθεὶς ὁ Ἰσοκάσιος εἶπεν, Ὁρῶ καὶ*
οὐ ξενίζομαι· ἄνθρωπος γὰρ ὢν ἀνθρωπίναις περιέπεσα συμ-
φοραῖς. ἀλλὰ δίκῃ καθαρᾷ δίκασον ἐπ' ἐμοί, ὡς ἐδίκαζες σὺν
ἐμοί. καὶ ἀκούσας τοῦ Ἰσοκασίου ὁ δῆμος τῶν Βυζαντίων ὁ

6. *ψυχίστρου* Ox., *ψυχριστοῦ* Chron., *ψυχρίστου* Suidas v. *Ἰάκωβος*. Vid. Schurzfleisch. Notit. Bibl. Vinar. p. 91. s. 10. *αὐτῷ* Ox., *αὐτὸν* Ch., Chron. 11. *ἐξετασθῆναι* Ch., *ἐξαιτασθῆναι* Ox. 13. *ἀξίας*] *ἀξίαν* Chron. 15. *ἐξητάζετο* Ch., *ἐξαιτάζετο* Ox. 18. *δεδεμένου* Ch. cum Chron., *δεδεμένα* Ox.

laude gesserat: summae enim erat prudentiae. Caeterum jussu Imperatoris comprehensus et exauctoratus, a Constantinopoli, ubi tum degebat, Chalcedonem missus est, ad Theophilum, Bithyniae Praefectum; qui et examinationem ejus accepit. Jacobus autem erat quidam, cognomine Psychistrus, Comes et Archiatrus, Imperatori ipsi Senatuique totique adeo populo percharus: cui etiam, tanquam Philosopho et Medico eximio, Senatus in Zeuxippo statuam posuerat. Jacobus hic Imperatorem rogavit, uti Constantinopoli, coram Senatu et Praefecto Praetorio, non autem Provinciae Praefecto, causam diceret Isocasius; ob dignitatem quam habuerat Quaestoriam. Exoratus Imperator, Isocasium Chalcedone reduci jussit: qui in Zeuxippum deductus, Pusaei, Praefecti Praetorio, examini subjectus est. Cumque nudus et post terga revinctis lacertis, pro Tribunali accederet, exprobrans eum Pusaeus: „Videsne, (inquit) Isocasi, quo habitu adstes? Cui Isocasius; Video, (inquit) nec demiror. Homo enim cum sim, in humanas incidi calamitates. Tu vero ita de Me judica, uti mecum de aliis judicasti.“ Haec ubi ab Isocasio audivit populus Byzan-

ἱστὼς καὶ θεωρῶν, εὐφήμησε τὸν βασιλέα Λέοντα πολλά· καὶ ἀποσπάσαντες αὐτὸν ἀπήγαγον ἀπὸ τοῦ Ζευξίππου εἰς τὴν μεγά- O 78
λην ἐκκλησίαν. καὶ δοὺς τὸ ὄνομα αὐτοῦ κατηχήθη καὶ ἐφωτίσθη· καὶ ἐπέμφθη εἰς τὴν χώραν αὐτοῦ.

Ὁ δὲ αὐτὸς θειότατος Λέων βασιλεὺς τὰς κυριακὰς ἀπράκτους εἶναι ἐκέλευσεν, ἐκφωνήσας περὶ τούτου θεῖον αὐτοῦ νόμον ἵνα μήτε αὐλὸς ἢ κιθάρα ἢ ἄλλο τι μουσικὸν λέγειν ἐν κυριακῇ, ἀλλὰ πάντας ἀργεῖν· καὶ πᾶς ἄνθρωπος ἠνίσχετο. C

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ὑπονοήσας τυραννίδα μελετᾶν Ἄσπαρα τὸν πατρίκιον, ὡς πρῶτον τῆς συγκλήτου, ἐφόνευσεν ἐν τῷ παλατίῳ καὶ Ἀρδαβούριον καὶ Πατρίκιον τοὺς υἱοὺς αὐτοῦ ἐν κομβέντῳ, καὶ αὐτοὺς ὄντας συγκλητικούς, κατακόψας τὰ σώματα αὐτῶν. καὶ ἐγένετο ἐν Κωνσταντινουπόλει ταραχή· εἶχον γὰρ πλῆθος Γότθων καὶ κόμητας καὶ ἄλλους παῖδας καὶ παραμένοντας αὐτοῖς ἀνθρώπους πολλούς. ὅθεν εἷς Γότθος τῶν διαφερόν- O 79
των τῷ αὐτῷ Ἄσπαρι ὀνόματι Ὄστρυς, κόμης, εἰσῆλθεν εἰς τὸ παλάτιον τοξεύων μετὰ ἄλλων Γότθων· καὶ συμβολῆς γενομένης μετὰ τῶν ἐξκουβιτώρων καὶ αὐτοῦ Ὄστρυ πολλοὶ ἐκόπησαν. D
καὶ μεσασθεὶς εἶδεν ὅτι ἡττήθη, καὶ ἔφυγε λαβὼν τὴν παλλακίδα Ἄσπαρος, Γότθαν εὐπρεπῆ, ἥτις ἔφιππος ἐξῆλθεν ἅμα αὐτῷ ἐπὶ

7. αὐλὸς ἢ κιθάρα Chron., αὐλῶσι κιθάρᾳ Ox. 8. πάντας] πάντα Chron. 19. παλακίδαν Ox.

tinus, qui eventum expectans circumstitit: Imperatorem Leonem, faustis acclamationibus repetitis celebrabat; et abstractum inde Isocasium, a Zeuxippo ad Magnam Ecclesiam deduxerunt: ubi in Christianorum album relatus et elementa fidei edoctus, sacroque fonte lustratus, in regionem suam remissus est.

Idem divinissimus Leo Imperator diebus Dominicis ab omni opere cessari jussit; promulgato super hoc Edicto Imperatorio, ne quis die Dominico tibia caneret, aliudve Instrumentum Musicum tractaret; sed quibuscunque negotiis abstinerent. Deinceps itaque ab omni opere feriatum est.

Circa id tempus Imperator Asparem Patricium, quem Tyrannidem moliri suspicabatur, (ut qui princeps Senatus esset) occidi jussit, intra Palatium: Ardaburium quoque et Patricium, filios ejus et ipsos etiam Senatores, in Conventu neci dedit, corporibus eorum in frusta concisis. Concitatus inde Constantinopoli tumultus: occisorum enim ex partibus ibi erat ingens Gothorum multitudo, praeter Comites, ministros alios, atque assectatores eorum quamplurimos. Unde et Gothus quidam, Ostrys nomine, Comes et Asparis ex Asseclis, in Palatium cum Gothis aliis irrumpens, spicula in Excubitores emisit: inter quos et Ostrym pugna commissa, plurimi ceciderunt. At vero Ostrys, ubi se hostibus undique cinctum, viribusque imparem vidisset, fugam capessit: abductaque secum Asparis pellice, Gothica quadam foemina formosa, cum ea in equum posita in

τὴν Θρᾴκην· καὶ ἐπραίδευσε τὰ χωρία. περὶ οὗ ἔκραξαν οἱ Βυζάντιοι, Νεκροῦ φίλος οὐδεὶς εἰ μὴ μόνος Ὄστρυς.

Ὁ δὲ αὐτὸς βασιλεὺς Λέων διωγμὸν ἐποίησε τῶν Ἀρειανιτῶν Ἐξακιονιτῶν διὰ Ἄσπαρα καὶ Ἀρδαβούριον, διατάξεις πανταχοῦ καταπέμψας μὴ ἔχειν αὐτοὺς ἐκκλησίας ἢ συνάγεσθαι.

E Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔβρεξεν ἐν Κωνσταντινουπόλει κονίαν ἀντὶ βροχῆς καὶ ἐπὶ παλαιστῇ ὕψους ἕστηκεν εἰς τοὺς κεράμους ἡ κονία· καὶ πάντες ἔτρεμον λιτανεύοντες καὶ λέγοντες ὅτι Πῦρ ἦν καὶ ἐσβέσθη καὶ εὑρέθη κονία τοῦ θεοῦ φιλανθρωπευσαμένου.

Ἐγένετο δὲ ἐν τῇ αὐτοῦ βασιλείᾳ ἐμπρησμὸς μέγας ἐν Κωνσταντινουπόλει οἷος οὐδέποτε· ἐκαύθη γὰρ ἀπὸ θαλάσσης ἕως θαλάσσης· καὶ φοβηθεὶς τὸ παλάτιον ἐξῆλθεν ὁ βασιλεὺς Λέων πέραν εἰς τὸν ἅγιον Μάμαντα, καὶ ἐποίησεν ἐκεῖ μῆνας ἓξ ἐν προκέσσῳ· καὶ ἔκτισεν ἐκεῖ λιμενάριον καὶ ἔμβολον, ὅνπερ ἐκάλεσε νέον ἔμβολον· ὅστις οὕτω καλεῖται ἕως τῆς νῦν.

O 80 V 29

Ἐπεστράτευσε δὲ ὁ αὐτὸς Λέων ἐν τοῖς χρόνοις τῆς αὐτοῦ βασιλείας κατὰ Σινζηρίχου Οὐανδάλου, ῥηγὸς τῶν Ἄφρων, πόλεμον ναυμαχίας φοβερόν· καὶ ἔπεμψε στόλον μέγαν καὶ Βασιλίσκον τὸν πατρίκιον, τὸν ἀδελφὸν Βηρίνης τῆς Αὐγούστας, τῆς γυναικὸς τοῦ αὐτοῦ Λέοντος. ὅστις Βασιλίσκος λαβὼν χρήματα

B παρὰ Ζινζηρίχου, ῥηγὸς τῶν Οὐανδάλων, καὶ προέδωκε τὰ πλοῖα

1. ἐπραίδευσε] ἐπραίδευσαν Chron. 3. Ἀρειανιτῶν] Ἀρειανῶν? 4. διατάξεις Ch., διὰ τάξεις Ox. 15. ὅνπερ Ch., ὅπερ Ox. 18. Οὐανδάλου, ῥηγὸς Ch., Οὐανδαλούριγος Ox.

Thraciam evasit; ubi et agros depraedatus est. De hoc Byzantini diverbium habuerunt, dicendo: *Mortui amicus nemo, nisi solus Ostrys.*

Idem Leo Imperator, Asparis atque Ardaburii causa, Arianos Exacionitas persecutus est: publicatis ubique Edictis, quibus Ecclesias habere eos, conventusve ullos vetuit.

Hujus temporibus Constantinopoli, pro imbre, cinis depluit, et quatuor digitos altus tegulis incubuit. Tremore inde perculsi omnes, in preces se dederunt, dicentes invicem: „Utique ignis erat; quo Divina Misericordia extincto, cinis inventus est.“

Eodem imperante, tantum Constantinopoli extitit incendium, quantum antea nunquam: a mari enim ad mare conflagravit urbs. Leo itaque Imperator Palatium, de eo metuens ne ab ignibus corriperetur deseruit: fluminaeque trajecto, D. Mamantem se contulit: ubi per sex menses in Processu commorabatur; extructis interim ibi portu et Portico, quam *Porticum Novam* appellavit; quo nomine usque adhuc vocatur.

Idem Imperator Leo navali praelio formidabili Sinzerichum Vandalum, Afrorum regem, impetebat, misso in eum cum classe ingenti Basilisco Patricio, Verinae Augustae, Leonis uxoris, fratre. Hic vero, pecuniis a Zinzericho Vandalorum rege acceptis, classem, cum Exarchis et comiti-

καὶ τοὺς ἐξάρχους καὶ τοὺς κόμητας καὶ τὸν στρατὸν πάντα, καὶ μόνος μετὰ τοῦ ἰδίου πλοίου, ἤτοι λιβέρνου, πρῶτος ἔφυγε· τὰ δ' ἄλλα πλοῖα πάντα καὶ ὁ στρατὸς ἀπώλετο ἐν τῇ θαλάσσῃ βυθισθέντα. ἐν οἷς καὶ Δαμονικὸς ὁ ἀπὸ δουκῶν, γενόμενος στρατηλάτης ἐξπεδίτου, καταγόμενος ἐκ τῆς Ἀντιοχέων μεγάλης πόλεως, ἀνδραγαθήσας κατὰ τῶν Ἄφρων καὶ μονασθεὶς ἐμεσάσθη καὶ συνελήφθη καὶ ἐῤῥίφη εἰς τὸν βυθὸν ἔνοπλος. καὶ ὑπέστρεψεν ὁ Βασιλίσκος ἐν Κωνσταντινουπόλει ἡττηθείς.

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Λέοντος ἐσφάγη Ἀνθίμιος O 81
ὁ βασιλεὺς ἐν Ῥώμῃ· ἐν ἔχθρᾳ γὰρ γενόμενος τοῦ ἰδίου αὐτοῦ
υἱοῦ γαμβροῦ Ῥεκίμερ τοῦ στρατηλάτου, φοβηθεὶς αὐτὸν ὡς Γότ- C
θον, ἀπῆλθεν εἰς τὸν ἅγιον Πέτρον προσφεύγων ὁ βασιλεὺς Ἀνθίμιος, φησίν, ὡς ἄῤῥωστος. καὶ γνοὺς Λέων ὁ βασιλεὺς ἔπεμψεν ἐν Ῥώμῃ τὸν πατρίκιον Ὀλύβριον τὸν Ῥωμαῖον μετὰ τὴν ὑπατείαν αὐτοῦ, ἣν δέδωκεν ἅμα Ῥουστικίῳ, εἰς τό, φησί, ποιῆσαι φίλους τὸν βασιλέα Ἀνθίμιον καὶ τὸν γαμβρὸν αὐτοῦ Ῥεκίμερ, ὡς ὄντας ἐκ τῆς συγκλήτου Ῥώμης· καὶ κελεύσας αὐτῷ ὅτι Μετὰ τὸ γενέσθαι Ἀνθίμιον καὶ Ῥεκίμερ φίλους ἐκ τῆς Ῥώμης ἔξελθε καὶ ἄπελθε πρὸς Ζινζήριχον Οὐάνδαλον, τὸν ῥῆγα τῆς Ἀφρικῆς, ὡς ἔχων παῤῥησίαν πρὸς αὐτόν, διότι τὴν ἀδελφὴν τῆς σῆς γαμετῆς Πλακιδίας ἔχει νύμφην τοῦ υἱοῦ αὐτοῦ, καὶ

14. τῶν Ῥωμαίων] „Forte scribendum τὸν Ῥωμαῖον.“ Ch. 20. τὴν γαμετὴν τῆς σῆς ἀδελφῆς] „Manifestam vocabulorum ἀταξίαν hic habemus: legendum, τὴν ἀδελφὴν τῆς σῆς γαμετῆς Πλακιδίας. Placidiam enim, Valentiniani Imp. filiam alteram, uxorem habuit Olybrius; alteram vero, nomine Eudociam, Genserichus F. suo Honoricho matrimonio junxerat.“ Ch.

bus exercituque omni prodidit; solusque ipse, cum liburna sua, fugam primus capessens evasit; caeteris navibus omnibus cum exercitu mari submersis. Inter quos Damonicus dux fuit, Antiochia magna oriundus; qui et exercitum ducebat, et ipse strenue contra Afros pugnabat: solus autem in mediis hostibus cum esset, correptus et armatus sicut erat, in mare disjectus. Basiliscus interim, bello superatus, Constantinopolim reversus est.

Eodem imperante Leone Anthemius, rex Romanus, e medio sublatus est. Huic intercesserunt cum genero suo Recimere graves inimicitiae; a quo, tanquam Gotho, metuebat sibi. Itaque templum D. Petri. asylum quaerens, sed valetudinem praetendens, Anthemius se recepit. Haec ubi audivisset Leo Imperator, Olybrium, Patricium Romanum, post munera Consularia ab eo et Rusticio, in populum sparsa, Romam misit; uti, quae inter Anthemium et generum ejus Recimerem, Senatorem utrumque Romanum, intercesserant, inimicitias consopiret. Insuper etiam ei in mandato dedit, postquam Anthemium et Recimerem conciliasset, uti Roma discedens, Zinzerichum Vandalum, Africae regem, adiret; (apud quem, quod uxoris ejus Placidiae sororem filio suo desponsatam haberet, pluri-

D πεῖσον αὐτὸν φίλον μου γενέσθαι. ὑπελάμβανε δὲ ὁ αὐτὸς βασιλεὺς Λέων τὸν αὐτὸν Ὀλύβριον, ὅτι ἀντείχετο Ζινζηρίχου καὶ
ὅτι τοῦ μέρους αὐτοῦ ὑπῆρχε, καὶ παρεφυλάττετο αὐτὸν ὁ Λέων,
μὴ ἐὰν κινήσῃ κατὰ Λέοντος Ζινζήριχος πόλεμον, προδώσει ὁ
O 82 αὐτὸς Ὀλύβριος Κωνσταντινούπολιν τῷ Ζινζηρίχῳ, ὡς συγγενής,
καὶ ὅτι βασιλεύει ὁ αὐτὸς Ὀλύβριος ἐν Κωνσταντινουπόλει. καὶ
μετὰ τὸ ὁδεῦσαι Ὀλύβριον ἐπὶ τὴν Ῥώμην ἐάσαντα τὴν ἑαυτοῦ
γυναῖκα Πλακιδίαν καὶ τὴν θυγατέρα αὐτοῦ ἐν Κωνσταντινουπόλει ἔγραψεν ὁ θειότατος [θεῖος] βασιλεὺς Λέων διὰ μαγιστριανοῦ
Ἀνθιμίῳ, βασιλεῖ τῆς Ῥώμης, ταῦτα ὅτι Ἐγὼ ἐφόνευσα Ἄσπαρα
καὶ Ἀρδαβούριον, ἵνα μηδείς μοι ἐναντιοῦται κελεύοντι· ἀλλὰ
E καὶ σὺ φόνευσον τὸν γαμβρόν σου Ῥεκίμερ, ἵνα μὴ ἐπάνω σου
κελεύῃ. ἰδοὺ ἀπέστειλά σοι καὶ Ὀλύβριον τὸν πατρίκιον· φόνευσον καὶ αὐτὸν καὶ βασίλευσον κελεύων καὶ μὴ κελευόμενος.
ἦν δὲ ἀφορίσας ὁ Ῥεκίμερ εἰς ἑκάστην πόρταν Ῥώμης καὶ εἰς τὸν
λιμένα βοήθειαν Γοτθικήν· καὶ εἴ τις εἰσήρχετο ἐν Ῥώμῃ, ἠρευνᾶτο τί ἐπεφέρετο. καὶ ἀπελθόντος τοῦ μαγιστριανοῦ Μοδέστου
V 30 τοῦ πεμφθέντος ἀπὸ Λέοντος πρὸς Ἀνθίμιον βασιλέα καὶ ἐρευνηθέντος, ἐπήρθησαν αἱ σάκραι Λέοντος αἱ πρὸς Ἀνθίμιον καὶ
O 83 εἰσηνέχθησαν τῷ Ῥεκίμερ· καὶ ἔδειξεν αὐτὰς Ὀλυβρίῳ. καὶ λοιπὸν ἔπεμψεν ὁ Ῥεκίμερ πρὸς Γουνδαβάριον τὸν υἱὸν τῆς ἀδελφῆς

4. κινήσῃ] νικήσῃ Ox. 9. ὁ θειότατος θεῖος βασιλεύς] „Epithetorum horum alterum omnino redundat." Ch. 17. τοῦ μεγίστρου Ἀνουμοδέστου] „Ita Cod. MS. Lego, τοῦ μαγιστριανοῦ Μοδέστου." Ch.

mum eum posse non dubitavit:) illumque in gratiam secum redire suaderet. Suspicatus quippe est Leo Imperator, Olybrium pro Zinzericho stare et partes ejus secreto agere. Cavebat itaque sibi ab eo, ne si forte Zinzerichus in se bella moveret, Olybrius, ut qui ei affinitate junctus esset, Constantinopolim Zinzericho proderet; Imperiumque inde sibi comparaturus esset. Post itaque quam Olybrius Romam versus abierat, relictis Constantinopoli filia sua uxoreque Placidia, sacratissimus Imperator Leo Magistriano literas Anthemio Romanorum regi deferendas dedit, in haec verba: „Ego (inquit) Asparem, atque Ardaburium e medio sustuli; ne quis superesset, qui mihi imperanti adversaretur. Sed et Tu quoque Recimerem generum tuum occidito; ne sit, qui tibi imperitet. Quin et Olybrium quoque Patricium ad te misi; ipsum etiam occidas, velim: nempe ut regnes, aliis imperans, non subserviens. Collocaverat autem Recimer ad portum portasque Romae singulas praesidium Gothicum: nec prius cuiquam patebat aditus, quam quid haberet apud se aperuisset. Modestus itaque Magistrianus, qui a Leone missus fuerat ad Anthemium, ubi Romam venit, exploratione statim facta, Literae Imperatoriae, a Leone ad Anthemium missae, ei ablatae sunt: quas Recimeri traditas, ipse Olybrio communicavit. Statim itaque Recimer Gundabarium, sororis filium,

αὐτοῦ καὶ ἤνεγκεν αὐτὸν ἀπὸ τῶν Γαλλιῶν· ἐκεῖ γὰρ ἦν στρατηλάτης. ὅστις ἐλθὼν ἐφόνευσε τὸν Ἀνθίμιον βασιλέα, ὡς ἐστὶν εἰς τὸν ἅγιον οἶκον τοῦ ἀποστόλου Πέτρου· καὶ εὐθέως ἀπῆλθεν εἰς τὰς Γαλλίας ὁ αὐτὸς Γουνδαβάριος. καὶ ἔστεψεν ὁ Ῥεκίμερ βασιλέα Ὀλύβριον μετὰ γνώμης τῆς συγκλήτου Ῥώμης· καὶ ἐβασίλευσεν ὁ αὐτὸς Ὀλύβριος τῆς Ῥώμης μῆνας ὀλίγους· καὶ ἀῤῥωστήσας ἐτελεύτα. καὶ ἐποίησε πάλιν ἄλλον βασιλέα ὁ Ῥεκίμερ ἀπὸ τῆς συγκλήτου τῆς αὐτῆς Ῥώμης Μαιουρῖνον· καὶ ἐφόνευσαν καὶ αὐτόν, ὡς φιλήσαντα Ζινζήριχον, ῥῆγα τῶν Ἄφρων. καὶ ἐποίησεν B ἀντ' αὐτοῦ πάλιν ἄλλον βασιλέα ἐν τῇ Ῥώμῃ ἀπὸ τῆς συγκλήτου ὀνόματι Νέπον ὁ αὐτὸς Ῥεκίμερ· καὶ τελευτᾷ ὁ Ῥεκίμερ.

Ὁ δὲ αὐτὸς Λέων βασιλεὺς ἔλαβε γαμβροὺς δύο ταῖς θυγατράσιν αὐτοῦ, Λεοντίᾳ τῇ μείζονι Μαρκιανὸν τὸν πατρίκιον, τὸν υἱὸν γενόμενον Ἀνθιμίου, βασιλέως Ῥώμης, καὶ Ἀριάδνῃ Ζήνωνα τὸν Ἴσαυρον τὸν Κοδισσέον· καὶ ἐποίησεν ἀμφοτέρους στρατηλάτας O 84 πραισέντου καὶ πατρικίους. ἔτεκε δὲ ἡ περιφανεστάτη Ἀριάδνη πρωτότοκον ἄῤῥενα, ὃν ἐπεκάλεσε Λέοντα· ἡ γὰρ Λεοντία ἡ ἐμφανεστάτη θηλείας ἔσχε μόνον.

Ὁ δὲ βασιλεὺς Λέων ἔστεψεν ἐν Κωνσταντινουπόλει Λέοντα C τὸν μικρὸν τὸν ἔγγονον αὐτοῦ, υἱὸν δὲ Ζήνωνος, ποιήσας αὐτὸν

2. ὡς Ch., ὃς Ox. 14. γενόμενον Ch., γενομένου Ox. 15. Immo *Κοδισσαῖον* hic et infra.

ex Galliis, ubi Magister Militum erat, accersit. Gundabarius itaque Romam venit, et Anthemio Rege in ipso templo S. Apostoli Petri, quo se receperat, occiso, Gallias deinceps repetivit. Tum vero Recimer Olybrium, Senatu approbante, Romae regem constituit: qui, ubi mensibus paucis regnasset, in morbum incidens, fato succubuit. Cui Recimer Majorinum quendam, ex Senatoribus Romanis, successorem designavit. Hic vero, tanquam Zinzerichi Afrorum Regis studiosus, e medio sublatus est: Senatore etiam alio, Nepote vocato, ad Occidentis imperium a Recimere provecto. Tandem vero Recimer diem suum obiit.

Caeterum Leo Imperator filiae utrique virum comparavit, natu majori Leontiae Marcianum Patricium, Anthemii Romani Regis filium; Ariadnae vero Zenonem Isaurum, Codisseum: quorum utrumque Patricia dignitate et Praesentis Militiae Praefectura honestavit. Masculum vero primogenitum edidit Illustrissima Ariadna, quam Leonem vocavit: Clarissima enim Leontia foeminas tantum produxit.

L E O J U N I O R

I M P E R A T O R.

Leo autem Imperator nepotem suum, Leonem Juniorem, Zenonis filium, in Imperii consortium assumpsit, quem et Constantinopoli Diade-

βασιλέα ἅμα αὐτῷ. καὶ προῆλθεν ὕπατος ὁ αὐτὸς Καῖσαρ Λέων ὁ μικρὸς τῷ ἰανουαρίῳ μηνὶ τῆς δωδεκάτης ἐπινεμήσεως τοῦ φκβʹ ἔτους κατὰ Ἀντιόχειαν. τῷ δὲ μετ' αὐτὸν φεβρουαρίῳ μηνὶ γʹ νόσῳ βληθεὶς ὁ βασιλεὺς Λέων ὁ μέγας δυσεντερίας τελευτᾷ, ὢν ἐνιαυτῶν ογʹ.

Μετὰ δὲ τὴν βασιλείαν Λέοντος τοῦ μεγάλου ἐβασίλευσε Λέων ὁ μικρὸς ἔτος αʹ καὶ ἡμέρας εἰκοσιτρεῖς· ἦν δὲ παιδίον μικρόν. ὑπεβλήθη δὲ ὑπὸ τῆς ἰδίας αὐτοῦ μητρὸς τῆς ἐπιφανε-
D *στάτης Ἀριάδνης· καὶ ὡς προσκυνεῖ αὐτὸν ὡς βασιλέα Ζήνων ὁ στρατηλάτης, ὁ πατρίκιος, ὁ αὐτοῦ πατήρ, ἐπέθηκε στέφανον βασιλικὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, τῇ ἐνάτῃ τοῦ περιτίου μηνὸς τῆς δωδεκάτης ἐπινεμήσεως· καὶ ἐβασίλευσαν ἅμα.*

O 85 E *Ἐβασίλευσε δὲ ὁ αὐτὸς βασιλεὺς Ζήνων ὁ Κοδισσέος ὁ Ἴσαυρος μετὰ τοῦ ἰδίου αὐτοῦ υἱοῦ Λέοντος ὀλίγον χρόνον. καὶ προῆλθεν ὕπατος ὁ θειότατος Λέων ὁ μικρὸς ἔτους κατὰ Ἀντιόχειαν φκβʹ ἰνδικτιῶνος δωδεκάτης· καὶ τῷ ἑνδεκάτῳ μηνὶ τῆς αὐτοῦ*
V 31 *ὑπατείας ἠῤῥώστησε καὶ τελευτᾷ ὁ θειότατος Λέων ὁ μικρὸς μηνὶ νοεμβρίῳ ἰνδικτιῶνος ιγʹ, ἔτους χρηματίζοντος κατὰ Ἀντιόχειαν φκγʹ, ὢν ἐνιαυτῶν ζ, καθὼς συνεγράψατο Νεστοριανὸς ὁ σοφώτατος χρονογράφος ἕως Λέοντος τοῦ μικροῦ.*

2. Ἰαννουαρίῳ Ox. 4. δυσεντερίας Ch., δυσεντερείας Ox. 11. ἐννάτῃ Ox.

mate insignivit. Caesar itaque factus Leo Minor, Consulatum inibat, mense Januario Indictionis xii, Aerae Antiochenae anno dxxii. Sequentis autem Februarii die iii. Leo Magnus ex Dysenteria mortuus est, aetatis anno lxxiii.

Leone Magno demortuo, imperium tenuit Leo Junior annum i et dies xxiii. Hic, cum puer esset tenellus, matris suae Illustrissimae Ariadnae monitu, patris sui Zenonis, Militum Magistri et Patricii, (dum ipsum, ceu Imperatorem veneraretur) capiti regium Diadema imposuit, Februarii ix, Indict. xii; simulque deinceps regnarunt.

Z E N O

IMPERATOR.

Imperator itaque Zeno Isaurus, Codisseus, cum filio suo Leone, ad breve licet tempus imperavit. Sacratissimus enim Leo Junior, cum Consulatum suum inivisset anno Aerae Antiochenae dxxii, Indict. xii, Consulatus sui mense xi; in morbum incidens, e vivis excessit, mense Novembri, Indict. xiii, anno Aerae Antiochenae dxxiii, annum agens septimum: sicuti scriptum reliquit Nestorianus, sapientissimus Chronographus; qui historiam suam ad Leonem usque Juniorem perduxit.

ΛΟΓΟΣ ΙΕ΄ O 86

ΧΡΟΝΩΝ ΒΑΣΙΛΕΙΑΣ ΖΗΝΩΝΟΣ ΕΩΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΑΝΑΣΤΑΣΙΟΥ.

Μετὰ δὲ τὴν βασιλείαν Λέοντος τοῦ μικροῦ ἐβασίλευσεν ὁ θειό- B
τατος Ζήνων ἔτη ιε΄. καὶ τῷ μηνὶ τῷ ὀγδόῳ τῆς αὐτοῦ βασι-
λείας ἐποίησεν ἐπίσκοπον πατριάρχην ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ
Πέτρον, τὸν παραμονάριον τῆς ἁγίας Εὐφημίας τῆς ἐν Χαλκη-
δόνι· καὶ ἔπεμψεν αὐτὸν ἐν Ἀντιοχείᾳ. μετὰ δὲ δύο ἔτη καὶ μῆ-
νας δέκα τῆς βασιλείας αὐτοῦ ἐν λύπῃ γενόμενος διὰ πρᾶγμα αἰ- O 87
τηθὲν παρὰ τῆς αὐτοῦ πενθερᾶς Βηρίνης καὶ μὴ παρασχεθὲν αὐ-
τῇ παρ᾽ αὐτοῦ, κατεσκευάσθη παρὰ τῆς δεσποίνης Βηρίνης τῆς
αὐτοῦ πενθερᾶς. καὶ φοβηθεὶς μὴ σφαγῇ ὑπό τινος τῶν τοῦ πα- C
λατίου, ὡς συνοικούσης τῆς πενθερᾶς αὐτοῦ ἐν τῷ παλατίῳ,
ποιήσας πρόκεσσον ἐν Χαλκηδόνι ἔφυγεν ἐκεῖθεν βερέδοις καὶ
ἀπῆλθεν εἰς τὴν Ἰσαυρίαν ὡς ἐστὶ βασιλεύς. ὅντινα κατέλαβε

7. Βερίνης Ox. Sic et 8. p. seq. v. 6. 7.

LIBER XV.

DE TEMPORIBUS ZENONIS IMPERATORIS ADUSQUE ANASTASII IMPERIUM.

Post mortuum autem Leonem Juniorem, Imperium tenuit Sacratissimus Zeno, per annos xv. Mense autem Imperii sui octavo, Petrum, S. Euphemiae Chalcedonensis Paramonarium, Episcopum, sive Patriarcham Antiochensem constitutum, Antiochiam misit. Post vero quam duobus annis et decem mensibus regnasset, cum Verina Augusta, socrus ejus, ob negatam sibi quam ab eo postulaverat rem quampiam, insidias ei struxisset; super his anxius animi, veritusque ne ab aliquo Palatinorum interficeretur, (socrus enim in Palatio cum genero suo simul habitabat) Chalcedonem se contulit: inde vero veredis, (Imperator licet esset) in Isauriam

φυγοῦσα τὴν ἰδίαν αὐτῆς μητέρα λάθρᾳ καὶ ἡ βασίλισσα Ἀριάδνη εἰς τὴν Ἰσαυρίαν· καὶ διῆγεν ἅμα τῷ ἰδίῳ αὐτῆς ἀνδρί.

D Καὶ μετὰ τὸ φυγεῖν Ζήνωνα τὸν βασιλέα καὶ Ἀριάδνην εὐ-
θέως προεχειρίσατο ἡ αὐτὴ δέσποινα Βηρῖνα βασιλέα, στέψασα
Βασιλίσκον τὸν ἴδιον αὐτῆς ἀδελφόν· καὶ ἐβασίλευσεν ὁ αὐτὸς
Βασιλίσκος ὁ ἀδελφὸς Βηρίνης τῆς πενθερᾶς Ζήνωνος ἔτη β΄.
V 82 ἡ δὲ αὐτὴ Βηρῖνα ὅτε αὐτὸν βασιλέα, ὠνόμασε καὶ ὕπατον μετὰ
Ἀρμάτου προαχθέντος παρὰ Βασιλίσκου στρατηλάτου τοῦ μεγά-
O 83 λου πραισέντου· καὶ ὑπάτευσαν οἱ δύο.

Ὁ δὲ αὐτὸς Βασιλίσκος ἢ μόνον ἐβασίλευσεν, ἔστεψε τὸν υἱὸν αὐτοῦ βασιλέα ὀνόματι Μάρκον· καὶ ἐβασίλευσαν οἱ δύο.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας Βασιλίσκου καὶ Μάρκου τοῦ υἱοῦ αὐτοῦ ἔπαθεν ὑπὸ θεομηνίας πόλις τῆς πρώτης Συρίας ὀνόματι Γάβαλα μηνὶ γορπιαίῳ εἰς τὸ αὖγος· καὶ ἐχαρίσατο τῇ αὐτῇ πόλει ὁ βασιλεὺς Βασιλίσκος εἰς ἀνανέωσιν χρυσίου λί-
τρας ν΄.

B Καὶ ἐπανῆλθε Ζήνων ὁ βασιλεὺς μετὰ πλήθους πολλοῦ ἐκ τῆς Ἰσαυρίας ἐπὶ Κωνσταντινούπολιν, πέμψας εἰς Ἀντιόχειαν τὸν

fugit. Quem Imperatrix quoque Ariadna, matrem suam clam fugiens, in Isauriam secuta est; ubi etiam cum viro suo degit.

B A S I L I S C U S

I M P E R A T O R.

Statim vero post Zenonis et Ariadnae fugam, Verina Augusta Basiliscum, fratrem suum, Diademate insignitum, Imperatorem renunciavit. Imperium autem tenuit Basiliscus, Verinae Zenonis socrus frater, annis II. Consulem quoque eodem, quo Imperatorem, tempore designavit Verina, una cum Armato, quem Basiliscus ipse Magni Praesentis Militiae Magistrum constituerat: duo itaque hi Consulatum una gesserunt.

Basiliscus vero simul ac imperare coepit, Marcum filium suum Imperatorem renunciavit; amboque simul regnarunt.

Imperantibus autem Basilisco et Marco filio, divinam iram passa est Syriae Primae urbs, nomine Gabala, mense Septembri, sub ortum Solis: cui de novo instaurandae, Basiliscus Imperator libras auri L largitus est.

Z E N O

I M P E R A T O R.

Inter haec Zeno Imperator, numeroso milite stipatus, ex Isauria Constantinopolim rediit; missis Antiochiam Magnam Militibus Praesidiariis,

μεγάλην παραφύλακας Ἰσαύρους καὶ στρατηλάτην Τροκόνδην. ἀκούσας οὖν Πέτρος ὁ πατριάρχης ὁ ὑπ' αὐτοῦ δεξάμενος τῆς ἐπισκοπῆς τὴν χειροτονίαν ὑπὲρ τοῦ μέρους Βασιλίσκου ἐποίει. ὁ δὲ Βασιλίσκος μαθὼν τὴν τοῦ βασιλέως Ζήνωνος ἐπάνοδον, ἔπεμψεν Ἁρμᾶτον τὸν στρατηλάτην τοῦ πραισέντου μετὰ πάσης ἧς εἶχε βοηθείας στρατοῦ ἐν Θρᾴκῃ καὶ ἐν Κωνσταντινουπόλει καὶ εἰς τὸ παλάτιον, ὁρκώσας αὐτὸν εἰς ἅγιον βάπτισμα νεοφωτίστου O 89 μὴ προδοῦναι. καὶ λαβὼν τὸ πλῆθος τοῦ στρατοῦ ὁ Ἁρμᾶτος ἐπέρασε· καὶ τοῦτο προμαθὼν Ζήνων ὁ βασιλεὺς ἔπεμψε C πρὸς τὸν αὐτὸν Ἁρμάτιον ἐπαγγειλάμενος αὐτῷ πολλὰ καὶ τὴν στρατηλασίαν τῆς αὐτοῦ ζωῆς καὶ τὸν υἱὸν αὐτοῦ ποιεῖν Καίσαρα. καὶ προτραπεὶς ὁ αὐτὸς Ἁρμᾶτος ὑπὸ Ζήνωνος βασιλέως προέδωκεν, εὑρεθεὶς εἰς τὸ μέρος Ζήνωνος τοῦ βασιλέως· καὶ οὐκέτι ὑπήντησε Ζήνωνι ἐρχομένῳ ὁ αὐτὸς Ἁρμᾶτος, ἀλλὰ δι' ἄλλης ἔδοξεν ἐπιέναι ὁδοῦ τῆς Ἰσαυρίας.

Ἐξορμήσας δὲ Ζήνων ἐπέρασεν ἀπὸ τῶν λεγομένων Πυλῶν καὶ εἰσῆλθεν εἰς τὸ παλάτιον μετὰ τῶν ἰδίων ὁπλιτῶν ἰνδικτιῶνι ιδ'· καὶ ἐδέχθη ὑπὸ τῶν στρατευμάτων καὶ τῆς συγκλήτου. ἐθάῤῥει δὲ εἰς τὸ Πράσινον μέρος, ὅτι ἐφιλεῖτο παρ' αὐτῶν· ἔχαιρε D γὰρ καὶ αὐτὸς Ζήνων ὁ βασιλεὺς εἰς τὸ Πράσινον μέρος.

Ἀκούσας δὲ ἐξαίφνης Βασιλίσκος ὅτι Ζήνων ὁ βασιλεὺς εἰς τὸ παλάτιον ὥρμησε καὶ εἰσῆλθε καὶ ὅτι ἐδέξαντο αὐτὸν πάντες

7. νεοφωτίστου Ch., νεωφωτίστου Ox. 10. τὴν στρατηλασίαν τῆς αὐτοῦ ζωῆς] „Chr. Alex. habet, ἕως τῆς αὐτοῦ ζωῆς, rectius." Ch.

sub Troconde Duce. Petrus autem Patriarcha, qui Episcopus a Zenone creatus fuerat, ubi de his accepisset, Basilisci tamen partibus adhaesit. Basiliscus vero, audito Zenonis Imperatoris adventu, misit Armatum, Praesentis Militiae Magistrum, omnibus, quas habuit in Thracia, Constantinopoli et Palatio, copiis instructum: quem etiam adjuraverat per sanctum Baptismum, cujus lavacro recenter intinctus fuerat, ne se Zenoni proderet. Armatus itaque copiis acceptis trajecit; quod ubi Imperator Zeno intellexit, misso ad Armatum Legato, multa ei pollicitus est, Praesentis Militiae Praefecturam perpetuam, filiumque ejus Caesarem futurum. Armatus itaque Promissis hisce Zenonis allectus [Basiliscum] prodidit, in Zenonis partes discedens: nec Zenoni venienti cum exercitu occurrit, sed via alia Isauriam petere statuit.

Zeno autem cum exercitu suo, per *Pylas*, quas vocant, trajecit; Palatiumque cum militibus suis ingressus, ab exercitibus et Senatu receptus est Indictione xiv. De Prasinis vero satis securus erat; quippe hi Zenonem, ut qui partibus eorum faveret, percharum sibi habuerunt.

Basiliscus interim ubi audivisset, Imperatorem Zenonem venisse, Palatiumque occupasse, ab omnibus, ipsa etiam Verina Augusta, socru ejus,

καὶ Βηρῖνα ἡ δέσποινα, ἡ πενθερὰ αὐτοῦ, λαβὼν οὖν Βασιλίσκος
τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα ἔφυγεν εἰς τὴν μεγάλην ἐκκλησίαν
O 90 Κωνσταντινουπόλεως εἰς τὸ μέγα φωτιστήριον, προδοθεὶς ὑπὸ
Ἀρμάτου, ἐπὶ τῆς ὑπατείας Θευδερίχου.

E Ὁ δὲ θειότατος Ζήνων βασιλεὺς παρασχὼν τὸ βῆλον τοῦ
ἱππικοῦ εὐθέως ἐλθὼν ἐθεώρησε· καὶ ἐδέχθη ἀπὸ πάσης τῆς
πόλεως. καὶ μετὰ τὸ δεχθῆναι, ἐν ὅσῳ θεωρεῖ, ἔπεμψεν εἰς τὴν
μεγάλην ἐκκλησίαν καὶ ἐπῆρε παρὰ Βασιλίσκου καὶ τοῦ υἱοῦ αὐ-
τοῦ καὶ τῆς γυναικὸς αὐτοῦ τὸ σχῆμα τῆς βασιλείας· καὶ ἐκβα-
λὼν αὐτὸν καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα αὐτοῦ ὑπὸ λόγον
V 33 ὅτι οὔτε ἀποκεφαλίζονται οὔτε σφαγιάζονται ἔπεμψεν αὐτὸν καὶ
τοὺς αὐτοῦ εἰς Λίμνας κάστρον ἐν Καππαδοκίᾳ. καὶ ἐβλήθησαν
εἰς ἕνα πύργον τοῦ κάστρου καὶ ἀνεχρίσθη ἡ θύρα καὶ ἐφύλατ-
τον τὸν πύργον καὶ τὸ κάστρον Λίμνας πλῆθος στρατιωτῶν
Ἰσαύρων πολύ, ἕως λιμοκτονηθεὶς ὁ αὐτὸς Βασιλίσκος καὶ ἡ γυνὴ
αὐτοῦ καὶ τὰ τέκνα αὐτοῦ ἀπέδωκαν τὰς ψυχάς· καὶ ἐτάφησαν
ἐκεῖ εἰς τὸν αὐτὸν πύργον ἐν Καππαδοκίᾳ.

Καὶ ἐβασίλευσε Ζήνων μετὰ τὴν ἐπάνοδον αὐτοῦ ἄλλα ἔτη
ιβ΄, τοῦτ᾽ ἔστι τὰ πάντα ἔτη ἐβασίλευσε ιε΄ καὶ μῆνας δύο· τινὲς
δὲ καὶ τὰ δύο ἔτη Βασιλίσκου εἰς τὴν αὐτοῦ τάσσουσι βασιλείαν.
O 91 ὁ δὲ αὐτὸς Ζήνων βασιλεὺς ἐπανελθὼν εὐθέως καθεῖλε Πέτρον
B τὸν ἐπίσκοπον καὶ πατριάρχην Ἀντιοχείας τῆς μεγάλης, ὡς φίλον
Βασιλίσκου, καὶ ἐξώρισεν αὐτὸν εἰς Εὐχάϊτα εἰς τὴν Ποντικήν,
καὶ ἐποίησεν ἀντ᾽ αὐτοῦ Στέφανον ἐπίσκοπον Ἀντιοχείας. ἔδωκε

receptum; ipse, proditum se ab Armato videns, arreptis secum liberis et uxore sua, ad magnum protinus Baptisterium Ecclesiae magnae Constantinopolitanae se recepit, Theuderichо tum Consulatum gerente.

Sacratissimus autem Imperator Zeno, velo in usum Circi exhibito, statim ascendit, Ludosque spectavit; urbe tota reditum ei gratulante. Sic itaque receptus a suis, inter ipsa Circensia, magnam ad Ecclesiam misit et a Basilisco et uxore ejus filioque insignia Imperatoria abstulit: extractumque inde eum, cum uxore liberisque, data cautione nec capitibus multatum, nec neci eos traditum iri, amandavit eum cum suis in Limnas, Cappadociae Castellum: in cujus turrim quandam conjectus, porta ejus muro obstructa, castelloque a praesidio militari Isaurico custodito, ipse tandem, cum uxore liberisque fame necatus interiit, turrim hanc pro sepulchro consecutus.

Zeno autem Imperator post reditum suum annos XII regnavit: in universum itaque complevit annos XV et menses II: quibus etiam nonnulli duos illos, quibus Basiliscus imperavit, annos annumerant. Caeterum Zeno Imperator, statim a reditu suo, Petrum Episcopum et Patriarcham Antiochiae Magnae, tanquam qui Basilisci partibus adhaeserat, Episcopatu ejectum, in Euchaita, Ponti urbem, relegavit; Stephano in locum ejus

δὲ ὑπὲρ τῆς ἐπανόδου αὐτοῦ ὁ αὐτὸς βασιλεὺς Ζήνων δωρεὰς πᾶσι τοῖς ὑποτελέσιν αὐτοῦ. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἐσφάγη ὁ ἐπίσκοπος Στέφανος Ἀντιοχείας εἰς καλάμια ὀξυνθέντα ὑπὸ τοῦ κλήρου τοῦ ἰδίου, ἔξω τῆς αὐτῆς πόλεως εἰσελθὼν εἰς τὴν σύναξιν τῶν ἁγίων τεσσαράκοντα, εἰς τὰ λεγόμενα Βαρλαῆ, ὡς Νεστοριανός· καὶ ἐῤῥίφη τὸ λείψανον αὐτοῦ εἰς τὸν Ὀρόντην ποταμόν. καὶ μαθὼν Ζήνων ὁ βασιλεὺς ἐποίησεν ἐπίσκοπον καὶ πατριάρχην ἄλλον ὀνόματι Καλανδίωνα ἐν τῇ αὐτῇ Ἀντιοχέων πόλει τῆς Συρίας· καὶ ἐξωρίσθη καὶ αὐτός, ὡς Νεστοριανός· καὶ ἀνεκλή- C θη ὑπὸ τοῦ αὐτοῦ Ζήνωνος βασιλέως ὁ ἐπίσκοπος Πέτρος ἐκ τῆς ἐξορίας, τοῦ δήμου τῶν Ἀντιοχέων αἰτησάντων καὶ τοῦ κλήρου· καὶ ἐλθὼν ἀπὸ Εὐχαΐτων ἐγένετο πάλιν πατριάρχης καὶ ἀπέθανεν εἰς τὸν ἴδιον αὐτοῦ θρόνον ἐν Ἀντιοχείᾳ.

Ἐπὶ δὲ τῆς τοῦ Ζήνωνος βασιλείας προεχειρίσθη παρ' αὐτοῦ O 92 κατὰ συντάξεις καὶ ἐγένετο Καῖσαρ ὁ υἱὸς Ἀρμάτου τοῦ στρατηλάτου πραισέντου ὀνόματι Βασιλίσκος· καὶ συνεκάθητο τῷ αὐτῷ Ζήνωνι Βασιλίσκος εἰς τὸ ἱππικὸν θεωροῦντι, καὶ ἐτίμα τοὺς ἡνιόχους ὁ βασιλεὺς καὶ ὁ Καῖσαρ. ὁ δὲ Ζήνων λογισάμενος ὅτι ἐπιώρκησεν Ἀρμᾶτος ὁ στρατηλάτης τοῦ πραισέντου, ὁ πατὴρ τοῦ D Καίσαρος, ἐπομοσάμενος εἰς τὸ ἅγιον βάπτισμα Βασιλίσκῳ τῷ βασιλεῖ μὴ προδοῦναι αὐτόν, καὶ προτραπεὶς παρ' ἐμοῦ προέδω-

3. ὀξυνθέντα Ox. 8. Καλανδίονα Ox. Conf. Candidum Photii cod. 79., Cedrenum p. 353. D. 18. λογισάμενος Ch., λογησάμενος Ox. 19. ἐπιόρκησεν Ox. 21. αὐτὸν Ch., αὐτῷ Ox.

suffecto. Tributariis autem suis omnibus, ob reditum suum felicem, munera largitus est Zeno Imperator. Eodem imperante Zenone, Clerus Antiochensis Stephanum, Episcopum suum, quod Nestorii esset sectator, extra urbem, Quadraginta Sanctorum ad Synaxim, quae Barlais (uti vocant) habebatur, ingredientem, calamis praeacutis confecerunt; corpusque ejus mortuum in Orontem fluvium projecerunt. Imperator autem Zeno de his certior factus, Calandionem quendam, Episcopum et Patriarcham Antiochiae Syriae constituit: Verum hic quoque, quod Nestorianus esset, exterminatus est. Tum vero Imperator, Clero populoque Antiochensi hoc ab eo flagitantibus, Petrum Episcopum ab exilio revocavit. Hic itaque ab Euchaitis revocatus, et in Patriarchatum restitutus, in sede sua Antiochensi finivit vitam.

Caeterum Imperator Zeno Basiliscum, Armati Praesentis militiae Magistrum filium, ex pacto Caesarem renunciavit. Zenoni itaque Circensia spectanti, Basiliscus etiam assidebat; Caesarque simul, cum Imperatore, aurigantibus praemia exhibuit. At vero Imperator, Armati, Praesentis militiae Magistri, Caesaris patris, perjurium animo suo recogitans; et quod per sacrum Baptismum Basilisco juraverit, se eum non proditurum esse; „hortatu tamen meo, inquit, adductus, prodidit eum et mortis ei

κεν αὐτὸν καὶ ἀπέθανεν, πῶς τῇ ἐμῇ, φησί, βασιλείᾳ πιστὰ φυλάξει; μικρὸν γάρ, ἐὰν ἀνδρωθῇ ὁ υἱὸς αὐτοῦ ὁ Καῖσαρ, πάντως καὶ ἐμὲ παραβαίνει· ἐγὼ δὲ οὐ παρέβην αὐτόν, ἀλλὰ καὶ αὐτὸν ἐποίησα ἐπὶ τόπῳ πατρίκιον καὶ στρατηλάτην καὶ τὸν υἱὸν αὐτοῦ Καίσαρα· ἐκέλευσεν οὖν σφαγῆναι τὸν Ἁρμᾶτον, ὡς ἐπίορκον, καὶ ἐσφάγη, ὡς ἀνέρχεται κατὰ τὸ Δέκιμον εἰς τὸ ἱππικὸν θεωρῆσαι. καὶ μετὰ τὸ φονευθῆναι Ἁρμᾶτον τὸν υἱὸν αὐτοῦ Βασιλί-
O 93 *σκον τὸν Καίσαρα παιδίον ὄντα ἐχειροτόνησεν ἐπίσκοπον ἐν Κυ-*
E *ζίκῳ τῇ μητροπόλει τῆς Ἑλλησπόντου.*

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας τυραννήσαντες οἱ Σαμαρεῖται ἐν Παλαιστίνῃ ἔστεψαν λήσταρχον ὀνόματι Ἰουστασὰν Σαμαρείτην· καὶ εἰσῆλθεν ἐν Καισαρείᾳ καὶ ἐθεώρησεν ἱππικὸν καὶ ἐφόνευσε πολλοὺς χριστιανοὺς ἡγεμονεύοντος τῆς πρώτης Παλαιστίνης Πορφυρίου. ὁ δὲ αὐτὸς Ἰουστασὰς ἔκαυσε τὸν ἅγιον Προκόπιον ἐπὶ Τιμοθέου ἐπισκόπου Καισαρείας. καὶ ἐλθὼν ὁ δοὺξ
V 34 *Παλαιστίνης Ἀσκληπιάδης μετὰ τῆς αὐτοῦ βοηθείας καὶ ὁ λῃστοδιώκτης Ῥήγης, ὁ ἀξιωματικὸς Καισαρείας μετὰ τῶν Ἀρκαδιακῶν, ὁρμήσαντες κατ' αὐτοῦ συνέβαλον αὐτῷ καὶ παρέλαβον αὐτόν· καὶ ἀπεκεφάλισαν τὸν αὐτὸν Ἰουστασάν, καὶ ἐπέμφθη ἡ κεφαλὴ αὐτοῦ μετὰ τοῦ διαδήματος τῷ βασιλεῖ Ζήνωνι. καὶ εὐθέως ὁ βασιλεὺς Ζήνων ἐποίησε τὴν συναγωγὴν αὐτῶν τὴν οὐ-*

1. πῶς — φυλάξει Chron. Pasch. p. 326. C et Malalae codex ab sec. manu, ὡς — φυλάξας Ox. 2. ἀνδρειωθῇ Ox. 17. *Καισαρείας* Ch., *Καισαρίας* Ox.

auctor fuit, Imperio meo (uti ait ipse) se praestans fidelem. Quia et ubi primum adoleverit Caesar filius ejus, omnino et fidem suam erga me violabit: At ego illi fidem meam liberavi; ipsum Patricium protinus, Militiaeque Praefectum constituendo; filium etiam ejus Caesarem renunciando.“ Imperator itaque Armatum, tanquam perjurum, occidi jussit: quod et factum est, interim dum Decimum pertransiens, Circum ingrederetur Ludos spectaturus. Post caedem Armati, Basiliscum filium ejus, adolescentulum, Cyzici, quae Hellesponti Metropolis est, Episcopum designavit.

Hujus sub imperio Samaritani, Palaestinam incolentes; tyrannidem capessentes, Justasam quendam, Samaritanum, Latronum Principem, Diademate cinxerunt. Hic itaque Caesaream ingressus, Circensia spectavit; multosque Christianos interfecit; Porphyrio tunc temporis Syriae Primae Praefecturam tenente. Quin et S. Procopii quoque templum concremavit; Timotheo tum sedem Caesariensem occupante. Supervenientes autem ei Palaestinae Dux Asclepiades cum copiis suis et Rheges Latronum insectator, Caesariensis Axiomaticus cum Arcadiacis, Justasam adorti sunt: praelioque commisso, comprehensum tyrannum capite multarunt, caputque ejus regiumque Diadema Zenoni Imperatori miserunt. Zeno itaque Syn-

σαν εἰς τὸ Γαργαζὶ ὄρος εὐκτήριον οἶκον τῆς ἁγίας Θεοτόκου Μαρίας, ἀνανεώσας καὶ τὸν ἅγιον Προκόπιον, ποιήσας διάταξιν O 94 μὴ στρατεύεσθαι Σαμαρείτην, δημεύσας καὶ τοὺς εὐπόρους αὐτῶν· καὶ ἐγένετο κατάστασις.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας Θευδερίχος ὁ ἀπὸ ὑπάτων, ὁ υἱὸς B Οὐαλέμερος, ἐν Κωνσταντινουπόλει ἀνατραφεὶς καὶ ἀναγνούς, στρατηλάτης ὢν πραισέντου καὶ ἑωρακὼς τί ὑπέστη Ἀρμᾶτος, φοβηθεὶς τὸν βασιλέα Ζήνωνα, ἔλαβε τὴν ἰδίαν βοήθειαν καὶ ἐξῆλθεν ἀπὸ Κωνσταντινουπόλεως, ἐπὶ Σαλαβρίαν ἀπιὼν διὰ τοὺς ἐκεῖ καθεζομένους ἀριθμούς. καὶ τυραννήσας παρέλαβε τὴν Θρᾴκην πᾶσαν· καὶ ἦλθε κατὰ τοῦ βασιλέως Ζήνωνος ἕως Συκῶν πέραν κατέναντι Κωνσταντινουπόλεως, κόψας καὶ τὸν ἀγωγὸν τῆς πόλεως. καὶ ποιήσας ἡμέρας πολλάς, καὶ μὴ δυνηθεὶς βλάψαι τὸν βασιλέα, ἀνεχώρησεν ἐκεῖθεν ὁρμήσας ἐπὶ τὴν Ῥώμην, τότε κατεχομένην ὑπὸ τοῦ Ὀδοάκρου, ῥηγὸς τῶν βαρβάρων. καὶ πολεμήσας αὐτῷ κατὰ γνώμην καὶ προδοσίαν τῆς συγκλήτου Ῥώ- C μης, παρέλαβεν ἀνεπηρεάστως τὴν αὐτὴν Ῥώμην καὶ τὸν Ὀδόακρον ῥῆγα· καὶ ἐφόνευσεν αὐτὸν καὶ κατέσχε τῆς Ῥώμης, γενόμε- O 95 νος ἀντ' αὐτοῦ ῥὴξ ἐν αὐτῇ ἔτη μζ'. καὶ ἐφιλιώθη Ζήνωνι μετὰ ταῦτα τῷ βασιλεῖ, καὶ πάντα ὅσα ἔπραττε κατὰ γνώμην αὐτοῦ, καὶ τοὺς ὑπάτους χρηματίζων Κωνσταντινουπόλεως καὶ τοὺς

1. Γαργαζὶ] Γαριζὶν Ch. et Ducangius in Chron. V. ad p. 62. E. 17. ἀνεπηρεάστως Ch., ἀνεπερεάστως Ox.

agogam Samariticam, quam in monte *Gargazi* habuerunt, in Oratoriam Aedem convertit, Sanctae Deiparae Mariae sacratam; instaurato etiam S. Procopii Templo. Quinetiam et Samaritarum potentiorum bonis publicatis, Edicto cavit, ne quis ex Samaritis deinceps militaret. Sic itaque res ad pacem redacta est.

Eodem Imperante, Theuderichus quidam, Exconsul, Valemeris filius, (qui Constantinopoli enutritus literisque imbutus fuerat, et Praesentis Militiae tandem Magister constitutus) cum Armati fatum apud se reputasset, metuens sibi ab Imperatore Zenone, relicta Constantinopoli, et assumptis secum copiis suis, in Salabriam devenit, ob numeros Militares ibi collocatos. Tyrannidem vero arripiens, Thraciam universam occupavit: quin et contra Zenonem Imperatorem arma movens, adusque Sycenam trajectum, Constantinopoli e regione situm penetravit; Aquaeductu etiam urbis exciso. Cumque per multos dies urbi incubuisset, nihil tamen Imperatorem laedere potuerit; inde movens, Romam tendit, Odoacri, Barbarorum regi tum parentem. Quicum inito praelio, ex Senatorum consensu et proditione urbem Romam ipsumque Odoacrem nullo negotio cepit. Quo occiso, ipse Romanum regnum sibi vendicavit; regnavitque ibi, per annos XLVII. Theuderichus autem, posthaec in gratiam cum Zenone rediens, omnia ad mentem ejus agitabat: Consules etiam ipse Constanti-

ἐπάρχους τῶν πραιτωρίων, καὶ τὰ κωδικίλλια μὲν τῶν αὐτοῦ
ἀρχόντων τῶν μεγάλων ἀπὸ τοῦ βασιλέως Ζήνωνος ἐδέχετο, μη-
νύων αὐτῷ τίνα ἤθελε προαχθῆναι· καὶ τοὺς σκηπίονας δὲ τῶν
ὑπάτων ἐπὶ τοῦ βασιλέως αὐτοῦ ἐλάμβανεν.

Ἦ μόνον δὲ ῥὴξ ἐγένετο ὁ αὐτὸς Θευδερίχος, προσῆλ-
D θεν αὐτῷ μία χήρα, συγκλητικὴ Ῥώμης, ὀνόματι Ἰουβενα-
λία, διδάσκουσα αὐτὸν ὅτι τριάκοντα ἔτη ἔχω δικαζομένη με-
τὰ τοῦ πατρικίου Φίρμου· ἀλλὰ εὐλύτωσόν με. καὶ ἐνεγκὼν
τοὺς δικολόγους τῶν ἀμφοτέρων μερῶν εἶπεν αὐτοῖς, Εἰ μὴ διὰ τῆς
αὔριον καὶ τῆς μετ' αὐτῆς δώσετε αὐτοῖς τὸν ὅρον καὶ ἀπαλλάξετε
αὐτούς, ἀποκεφαλίζω ὑμᾶς. καὶ καθίσαντες δι' τῶν δύο ἡμερῶν
εἶπαν τὰ δοκοῦντα τοῖς νόμοις, δεδωκότες αὐτοῖς ὅρον καὶ ἀπαλλά-
ξαντες αὐτούς. καὶ ἅψασα κηροὺς Ἰουβεναλία προσῆλθεν αὐτῷ,
O 96 εὐχαριστοῦσα ὅτι εὐλυτώθη τῆς δίκης· καὶ ἠγανάκτησεν ὁ αὐ-
τὸς Θευδερίχος κατὰ τῶν δικολόγων, καὶ ἀγαγὼν αὐτοὺς εἶπεν
E αὐτοῖς, Διὰ τί, ὃ ἐποιήσατε εἰς δύο ἡμέρας καὶ ἀπηλλάξατε
αὐτούς, εἰς τριάκοντα ἔτη οὐκ ἐποιήσατε; καὶ πέμψας ἀπεκε-
φάλισε τοὺς δικολόγους τῶν ἀμφοτέρων μερῶν, καὶ ἐγένετο φό-
βος πολύς. καὶ ἐποίησε διάταξιν περὶ ἑκάστου νόμου.

Καὶ ἐξελθὼν ἀπὸ τῆς Ῥώμης ᾤκησε τὴν Ῥάβενναν, πόλιν
παράλιον, ἕως θανάτου αὐτοῦ. καὶ μετὰ θάνατον αὐτοῦ ἐγέ-

1. κωδικιάλλια Ox., κωδικίλλια Ch. 4. 5. ἐλάμβανεν. Ἦ μόνον] ἐλάμβανε· μόνον Ox. 7. 17. τριάκοντα ἔτη] „Chr. Alex. habet, τρία ἔτη.“ Ch. 10. μετ' αὐτῆς] μετ' αὐτὴν Ch. ibid. δώσετε Ch., δόσετε Ox. 11. αὐτούς Ch., Chron. p. 327. C, αὐτοῖς Ox. 14. εὐχαριστοῦσα Ch., εὐχαριστῶσα Ox. ibid. εὐλυτώθη Ch., εὐλυτώθην Ox. 15. κατὰ Chron., μετὰ Ox. 20. Ῥαβενναν Ox.

nopolitanos et Praetorio Praefectos designans; a Zenone Imperatore iisdem Magistratuum suorum primariorum omnium Codicillos, Consulum etiam scipiones, (indicatis prius, quos ad dignitatem ullam provectos ipse vellet) accepit. Jus vero Regium apud Theuderichum solum remansit.

Accedit autem ad eum Patricia quaedam Romana, nomine Juvenalia, foemina vidua, his verbis eum interpellans: „Causam, [o Rex] quae mihi cum Patricio Firmo intercessit totis jam xxx annis, Tu mihi expedi.“ Accersitis itaque utriusque Partis Causidicis; „Nisi (inquit eis) intra biduum litibus istis ad exitum perductis, Clientes hosce dimiseritis, capite vos plectam.“ Causa itaque per biduum agitata, Causidici sententiam juxta leges ferebant et litigantes dimiserunt. Juvenalia itaque cereis accensis, ad Regem venit; gratiasque ei egit, quod a Lite absoluta esset. Theuderichus autem Causidicis indignatus est, accersitisque dixit: „Quorsum, quam uno biduo extricastis, causam in totos triginta annos traxistis?“ Causidicos itaque utriusque Partis capite truncavit: metusque inde reliquis incessit ingens. Decretum etiam de singulis Legibus edidit.

Deinde Roma relicta, Ravennae, urbi maritimae, ad vitae exitum ha-

νετο ῥὴξ Ῥώμης ὁ ἔκγονος αὐτοῦ Ἀλάριχος. ἦν δὲ Ἀρειανὸς τῷ δόγματι, ὅ ἐστιν Ἐξακιονίτης. V 35

Ἐπὶ δὲ τῆς βασιλείας Ζήνωνος ἔπαθεν ὑπὸ θεομηνίας σεισμοῦ τὸ δεύτερον αὐτῆς πάθος Κωνσταντινούπολις ἐπὶ ὀλίγον διάστημα, ἕως τοῦ Ταύρου. ἔπαθε δὲ τότε καὶ Νικομήδεια, μητρόπολις τῆς Βιθυνίας, τὸ ἕκτον αὐτῆς πάθος, ὁμοίως δὲ καὶ Ἑλενούπολις τῆς αὐτῆς ἐπαρχίας· καὶ πολλὰ παρέσχεν αὐτοῖς ὁ αὐτὸς Ζήνων.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἀντῆρεν ὁ πατρίκιος Ἰλλοῦς ὁ Ἴσαυρος, ὁ φίλος τοῦ αὐτοῦ βασιλέως Ζήνωνος, ὁ ἀναγαγὼν τὸν αὐτὸν βασιλέα Ζήνωνα μετὰ βοηθείας πολλῆς τὴν δευτέραν αὐτοῦ ἐπάνοδον ἀπὸ τῆς Ἰσαυρίας, ὅτε ἔφυγεν ἀπὸ Κωνσταντινουπόλεως βασιλεύων. O 97 B *ὅστις Ἰλλοῦς ἀνῆλθεν· ἐν Κωνσταντινουπόλει μετὰ τοῦ αὐτοῦ βασιλέως Ζήνωνος· καὶ ὡς θαῤῥούμενος παρ' αὐτοῦ καὶ θαῤῥῶν αὐτῷ, ἐβουλεύσατο μετὰ τοῦ αὐτοῦ Ζήνωνος ὁ Ἰλλοῦς ὥστε ἐκβληθῆναι τὴν πενθερὰν τοῦ αὐτοῦ Ζήνωνος ἀπὸ Κωνσταντινουπόλεως, ἵνα μὴ πάλιν ἐπιβουλεύσῃ, ὡς πρῶτον. καὶ πέμπει τὸν αὐτὸν Ἴλλον ὁ Ζήνων εἰς τὴν Ἰσαυρίαν, ἵνα ἐνέγκῃ Λογγῖνον τὸν ἀδελφὸν Ζήνωνος. καὶ κατελθὼν ὁ αὐτὸς Ἰλλοῦς ἀπέμεινεν εἰς τὴν Ἰσαυρίαν, γράφων, φησί, Ζήνωνι ὥστε λαβεῖν αὐτὸν λόγον διὰ Βηρίνης τῆς δεσποίνης, τῆς πενθερᾶς*

1. *Ἀλάριχος*] *Ἀταλάριχος* Ch., Chron. Conf. ad p. 55. A. 7. *Ἑλληνούπολιν* Ox.. 9. *Ἰλλοῦς*] *Ἰλλοὺς* Ox. hic et 13. 18. *Ἴλλον*] Sic et Cedrenus p. 354. C, Malchus apud Suidam v. *Παμπρέπιος*, ubi est etiam quod ab *Ἰλλοῦς* formari non potuit *Ἴλλῳ*. Malalas autem variare formas nominum vocabulorumque solet. Fallitur Toupius Emend. vol. I. p. 262. 20. *Ἰλλοῦς* Ox. Eodemque accentu p. 386. — 389. 21. *Βερίνης* Ox.

bitavit. Post quem demortuum, Romanum regnum obtinuit Alarichus, ejus nepos. Arianus vero erat, id est, *Exocionita*.

Imperante autem Zenone, secundas divinae irae vices perpessa est Constantinopolis; parva urbis parte, ad Taurum usque, terrae tremoribus concussa. Quo tempore etiam sexta vice passa est Nicomedia, Bithyniae Metropolis; Hellenopolis etiam, ejusdem Provinciae urbs. Quibus instaurandis Imperator plurima largitus est.

Iisdem temporibus adversus Imperatorem insurgebat Illus Patricius, Isaurus natione, Imperatoris etiam amicus, quique eum ex Isauria, quo confugerat Imperator, Constantinopolim reduxerat. Quo ubi cum Imperatore advenisset, consiliis invicem communicatis, Zenonem fidenter hortatus est Illus, uti Socrum suam ex urbe ejiceret; ne deinceps ei, ut antea insidiaretur. Imperator itaque Illum in Isauriam remisit, uti Longinum fratrem suum inde abduceret. Descendens itaque Illus in Isauriam, commorabatur ibi; Imperatori interim rescribens, velle se per Verinam Augustam, Zenonis Imperatoris socrum, Libellum Indemnitatis a Zenone Imperatore, a quo metuebat sibi, accipere. Suadebat itaque Zeno Veri-

τοῦ αὐτοῦ Ζήνωνος βασιλέως, ὡς φοβούμενος τὸν βασιλέα Ζήνωνα. καὶ ἔπεισε τὴν αὐτὴν δέσποιναν Βηρῖναν ὁ βασιλεὺς Ζή-
C νων, ὁ γαμβρὸς αὐτῆς, κατὰ τὰ δόξαντα μεταξὺ Ἰλλοῦ καὶ τοῦ αὐτοῦ Ζήνωνος, ὥστε κατελθεῖν καὶ δοῦναι Ἰλλοῦ λόγον ἀπαθείας, ὡς φοβουμένου Ζήνωνα, καὶ ἀνενέγκαι αὐτὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ Λογγῖνον. καὶ κατῆλθεν ἡ αὐτὴ Βηρῖνα εἰς τὴν Ἰσαυρίαν· καὶ δεξάμενος αὐτὴν Ἰλλοῦς ἀπέκλεισεν εἰς καστέλλιον ἐν τῇ Ἰσαυρίᾳ ἔχον βοήθειαν πολλήν, καὶ κελεύσας αὐτὴν διὰ στρατιωτῶν φυλάττεσθαι, καὶ λαβὼν Λογγῖνον τὸν ἀδελφὸν τοῦ βασιλέως, ἀνῆλθεν ἐν Κωνσταντινουπόλει. καὶ ἐγένετο ὁ αὐτὸς Ἰλλοῦς συγκλητικὸς καὶ ὕπατος καὶ μάγιστρος καὶ πατρίκιος, διοικῶν τὴν πᾶσαν πολιτείαν. ὁμοίως δὲ καὶ ὁ Λογ-
D
O 98 γῖνος ὁ ἀδελφὸς τοῦ βασιλέως ἐγένετο στρατηλάτης πραισέντου καὶ ὕπατος· καὶ παρέσχεν εἰς τὰ τέσσαρα μέρη Κωνσταντινουπόλεως ὀρχηστὰς ἐμμάλους μικροὺς τέσσαρας· ἦσαν γὰρ οἱ ὀρχούμενοι ἐν Κωνσταντινουπόλει εὔφημοι παλαιοί, καὶ ἐποίησεν αὐτοὺς λῦσαι, πολλὰ χαρισάμενος αὐτοῖς. ἔδωκε δὲ τοῖς Πρασίνοις ἔμμαλον τὸν Αὐτοκύονα τὸν λεγόμενον Καράμαλλον ἀπὸ Ἀλεξανδρείας τῆς μεγάλης, καὶ τὸν Ῥόδον τὸν λεγόμενον Χρυ-
O 99 σόμαλλον, καὶ αὐτὸν Ἀλεξανδρέα, εἰς τὸ Βένετον, καὶ Ἑλλάδιον τὸν ἀπὸ Ἐμέζης τῆς πόλεως εἰς τὸ Ῥούσιον μέρος· ἔδωκε δὲ καὶ τὸν λεγόμενον Μαργαρίτην τὸν Κατζάμυν τὸν ἀπὸ Κυζίκου ἐνεγκὼν τοῖς Λευκοῖς. καὶ ἀπέθετο τὴν δευτέραν αὐτοῦ ὑπατείαν Λογγῖνος.

8. ἔχον Ch., ἔχων Ox. 15. ὀρχιστὰς Ox.

nam Augustam socrum suam in ea de quibus ipse cum Illo consilium habuerat; nempe uti in Isauriam descendens, Illo Libellum Indemnitatis ab Imperatore, quem metuebat, concederet; simul etiam inde eum cum Longino, Zenonis fratre, abduceret. Verina itaque in Isauriam descendens, ab Illo accepta est: qui deinde eam in castrum quoddam Isauricum, a praesidio numeroso custoditum, inclusit. Ipse interim, accepto secum Longino, Imperatoris fratre, Constantinopolim revertitur. Porro autem Illus ad Senatoriam Patriciamque dignitatem evectus, Consul quoque factus et Magister, omnem ubique Remp. administravit. Longinus etiam, Imperatoris frater, Consul creatus est, et Praesentis Militiae Magister. Hic vero Constantinopolitanis quatuor Factionibus saltatores quatuor Emmelos minores distribuit: quippe qui tum fuerunt saltatores celebres, veterani admodum erant; quos largitionibus abunde donatos, liberos esse jussit. Prasinis vero Autocyonem quendam Alexandrinum dedit Emmalum, Caramallum vocatum: Venetis vero Chrysomallum dedit Rhodum quendam, et ipsum Alexandrinum: Russatis vero Helladium quendam Emisenum: Albatis denique Margaritam quem vocant, Catzamyn dedit quendam, Cyzicenum. Tum vero Longinus Consulatum suum secundum deposuit.

*Ἡ δὲ βασίλισσα Ἀριάδνη ἡ τοῦ αὐτοῦ Ζήνωνος γυνὴ δε-
ξαμένη παρὰ τῆς ἰδίας αὐτῆς μητρὸς γράμματα λάθρᾳ καὶ παρε- E
κάλεσε τὸν βασιλέα Ζήνωνα ἵνα ἀπολυθῇ ἀπὸ καστελλίου, ὅπου
ἦν ἀποκεκλεισμένη ἡ δέσποινα Βηρῖνα. καὶ εἶπεν αὐτῇ ὁ βασι-
λεὺς Ζήνων ἵνα αἰτήσῃ τὸν πατρίκιον Ἰλλοῦν περὶ αὐτῆς. καὶ
μεταστειλαμένη ἡ βασίλισσα Ἀριάδνη Ἰλλοῦν ᾔτησεν αὐτὸν μετὰ
δακρύων διὰ τὴν αὐτῆς μητέρα Βηρῖναν ἵνα ἀπολυθῇ· καὶ οὐκ
ἐπείσθη Ἰλλοῦς, ἀλλὰ λέγει αὐτῇ, Τί αὐτὴν ζητεῖς; ἵνα ποιήσῃ
πάλιν ἄλλον βασιλέα κατὰ τοῦ σοῦ ἀνδρός; καὶ πάλιν εἶπεν ἡ V 36
Ἀριάδνη τῷ βασιλεῖ Ζήνωνι ὅτι Ἰλλοῦς ἐστιν εἰς τὸ παλάτιον ἢ
ἐγώ; καὶ λέγει αὐτῇ ὁ βασιλεὺς ὅτι Εἴ τι δύνῃ, πρᾶξον· ἐγώ σε
θέλω. καὶ λοιπὸν ἡ Ἀριάδνη κατεσκεύασε τοῦ φονεῦσαι τὸν Ἰλ-
λοῦν· καὶ ἱππικοῦ ἀγομένου, ὡς ἀνέρχεται διὰ τῶν πουλπιτῶν
ἐπὶ τὸ Δέκιμον, ἔκρουσεν αὐτῷ ὁ προτραπεὶς σχολάριος σπαθίῳ O 100
κατὰ τῆς κεφαλῆς, ὀνόματι Σποράκιος, βουλόμενος εἰς δύο αὐτὸν
κόψαι· καὶ εὑρέθη ὁ σπαθάριος τοῦ Ἰλλοῦ ἐγγύς, καὶ προσεσχη-
κὼς τὸ ξίφος κατερχόμενον τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἐδέξατο· καὶ κα-
τελθοῦσα ἡ ἀρχὴ τοῦ ξίφους εἰς τὴν κεφαλὴν αὐτοῦ ἔκοψε τὸ
ὠτίον τοῦ αὐτοῦ Ἰλλοῦ τὸ δεξιόν· καὶ ἐσφάγη ὁ σχολάριος ἐπὶ τὸν B
τόπον. ὁ δὲ Ἰλλοῦς κουφισθεὶς ὑπὸ τῶν ἀνθρώπων αὐτοῦ ἀπη-
νέχθη εἰς τὸν ἴδιον αὐτοῦ οἶκον βασταζόμενος. ὁ δὲ Ζήνων
ἀκούσας ἐπωμόσατο λέγων ἀγνοεῖν τὴν κατὰ Ἰλλοῦν κατασκευήν,
καὶ οὐκ ἐπείσθη ὁ Ἰλλοῦς, ἀλλὰ ἔχων τὴν λύπην περιωδεύετο·*

3. καστελλίου Ch., καστελίου Ox, 14. αὐτῷ] αὐτὸν Ch. 22. Ἰλλοῦν] Fort. Ἰλλοῦ.

